§ 13. Ἀλλὰ καὶ τὸ ἀρνεῖσθαί σε νεκροὺς ἐγείρεσθαι· φὴς γάρ, δεῖξόν μοι κἂν ἕνα ἐγερθέντα ἐκ νεκρῶν, ἵνα ἰδὼν πιστεύσω· πρῶτον μέν, τί μέγα, εἰ θεασάμενος τὸ γεγονὸς πιστεύεις; εἶτα πιστεύεις μὲν Ἡρακλέα καύσαντα ἑαυτὸν ζῇν· καὶ Ἀσκληπιὸν κεραυνωθέντα ἐγηγέρθαι, τὰ δὲ ὑπὸ τοῦ Θεοῦ σοι λεγόμενα ἀπιστεῖς; ἴσως καὶ ἐπιδείξω[1] σοι νεκρὸν ἐγερθέντα, καὶ ζῶντα, καὶ τοῦτο ἀπιστήσεις. ὁ μὲν οὖν Θεός σοι πολλὰ τεκμήρια ἐπιδείκνυσιν εἰς τὸ πιστεύειν αὐτῷ. εἰ γὰρ βούλει, κατανόησον[2] τὴν τῶν καιρῶν καὶ ἡμερῶν καὶ νυκτῶν τελευτήν, πῶς καὶ αὐτὰ τελευτᾷ καὶ ἀνίσταται. τί δὲ καὶ οὐχὶ ἡ τῶν σπερμάτων καὶ καρπῶν γινομένη ἐξανάστασις, καὶ τοῦτο εἰς τὴν χρῆσιν τῶν ἀνθρώπων; εἰ γὰρ τύχοι εἰπεῖν κόκκος σίτου ἢ τῶν λοιπῶν σπερμάτων ἐπὰν βληθῇ εἰς τὴν γῆν, πρῶτον ἀποθνήσκει καὶ λύεται, εἶτα ἐγείρεται καὶ γίνεται στάχυς. ἡ δὲ τῶν δένδρων καὶ ἀκροδρύων φύσις, πῶς οὐχὶ κατὰ πρόσταγμα Θεοῦ ἐξ ἀφανοῦς καὶ ἀοράτου κατὰ καιροὺς προσφέρουσι τοὺς καρπούς; ἔτι μὴν ἐνίοτε καὶ στρούθιον, ἢ τῶν λοιπῶν πετεινῶν, καταπιὸν σπέρμα μηλέας, ἢ συκῆς, ἢ τινος ἑτέρου, ἦλθεν ἐπί τινα λόφον πετρώδη, ἢ τάφον, καὶ ἀφώδευσε, κἀκεῖνο δραξάμενον ἀνέφυ δένδρον, τὸ ποτὲ καταποθέν, καὶ διὰ τοσαύτης θερμασίας διελθόν. ταῦτα δὲ πάντα ἐνεργεῖ ἡ τοῦ Θεοῦ σοφία, εἰς τὸ ἐπιδεῖξαι καὶ διὰ τούτων, ὅτι δυνατός ἐστιν ὁ Θεὸς ποιῆσαι τὴν καθολικὴν ἀνάστασιν ἁπάντων ἀνθρώπων. εἰ δὲ καὶ θαυμασιώτε-

---

a Christo rectius deducunt, ut Theodoretus ad Jes. LXII. *Χριστιανοὶ παρὰ πάντων καλοῦνται, ἅτε διὰ τοῦ παναγίου βαπτίσματος τὸν Χριστὸν ἐνδυσάμενοι.*

[1] *ἴσως καὶ ἐπιδείξω.*] Diffidenter loquitur Theophilus. Disertius affirmat Irenæus (II. 31. 2.) mortuos quosdam per Ecclesiæ

§ 13. Sed mortuorum etiam resurrectionem negas; ais enim, ostende mihi vel unum ex mortuis excitatum, ut cernens credam. Primum quidem quid magni præstabis, si tum credes cum rem factam videris? Deinde credis Herculem, qui se ipse combussit, vivere; Æsculapium fulminē percussum, in vitam revocatum; quæ vero tibi a Deo dicuntur, ea non credis? Imo ostendam tibi fortasse mortuum ad vitam revocatum et viventem, nec tamen id credes. Ac multa quidem tibi Deus exhibet argumenta cur ei credas. Observa enim, si placet, temporum et dierum et noctium interitum; attende quemadmodum hæc etiam intereant et resurgant, Quid? An non seminum et fructuum fit resurrectio, idque ad usus humanos? Granum enim tritici, exempli gratia, aut aliorum seminum, cum terræ injectum fuerit, primo perit et dissolvitur, deinde excitatur et in spicam assurgit. Arborum autem et fructuum natura, nonne Dei jussu, vi quadam latente et occulta, certis temporibus fructus producit. Quinetiam interdum passerculus aut avis alia quælibet, cum semen mali aut ficus aut alterius cujusvis sorbuerit, avolat ad rupem editam, aut sepulcrum, atque id egerit; semen autem, radice acta succrescit in arborem, licet deglutitum fuerit et tantum calorem sustinuerit. Hæc autem omnia operatur divina sapientia, ut vel ex his de-

---

precationes ad vitam revocatos esse. Sed ejusmodi testimonia non est hujusce loci expendere.

[2] *κατανόησον.*] Videtur Theophilus in animo habuisse similem locum Clementis Rom. ad Cor. xxiv. qui incipit *κατανοήσωμεν ἀγαπητοί.* Idem argumentum habet Tertull. Apol. XLVIII.

ρον θέαμα θέλεις θεάσασθαι γενόμενον πρὸς ἀπόδειξιν ἀναστάσεως, οὐ μόνον τῶν ἐπιγείων πραγμάτων, ἀλλὰ καὶ τῶν ἐν οὐρανῷ, κατανοήσον τὴν ἀνάστασιν τῆς σελήνης τὴν κατὰ μῆνα γενομένην, πῶς φθίνει καὶ ἀποθνήσκει καὶ ἀνίσταται πάλιν. ἔτι ἄκουσον καὶ ἐν σοὶ αὐτῷ ἔργον ἀναστάσεως γινόμενον, κἂν ἀγνοῇς, ὦ ἄνθρωπε. ἴσως γάρ ποτε νόσῳ περιπεσὼν, ἀπώλεσάς σου τὰς σάρκας, καὶ τὴν ἰσχὺν, καὶ τὸ εἶδος, ἐλέους δὲ τυχὼν παρὰ Θεοῦ, καὶ ἰάσεως, πάλιν ἀπέλαβές σου τὸ σῶμα, καὶ τὸ εἶδος, καὶ τὴν ἰσχύν· καὶ ὥσπερ οὐκ ἔγνως ποῦ ἐπορεύθησάν σου αἱ σάρκες ἀφανεῖς γενόμεναι, οὕτως οὐκ ἐπίστασαι οὐδὲ πόθεν ἐγένοντο, ἢ πόθεν ἦλθον. ἀλλὰ ἐρεῖς· ἐκ τροφῶν καὶ χυμῶν ἐξαιματουμένων. καλῶς. ἀλλὰ καὶ τοῦτο ἔργον Θεοῦ τοῦ οὕτω δημιουργήσαντος καὶ οὐκ ἄλλου τινός.

§ 14. Μὴ οὖν ἀπίστει[1], ἀλλὰ πίστευε· καὶ γὰρ ἐγὼ ἠπίστουν τοῦτο ἔσεσθαι· ἀλλὰ νῦν κατανοήσας αὐτὰ πιστεύω, ἅμα καὶ ἐπιτυχὼν ἱεραῖς γραφαῖς τῶν ἁγίων προφητῶν, οἱ καὶ προεῖπον διὰ πνεύματος Θεοῦ τὰ προγεγονότα ᾧ τρόπῳ γέγονε, καὶ τὰ ἐνεστῶτα τίνι τρόπῳ γίνεται, καὶ τὰ ἐπερχόμενα ποίᾳ τάξει ἀπαρτισθήσεται. ἀπόδειξιν οὖν λαβὼν τῶν γινομένων καὶ προαναπεφωνημένων, οὐκ ἀπιστῶ· ἀλλὰ πιστεύω πειθαρχῶν Θεῷ, ᾧ εἰ βούλει καὶ σὺ ὑποτάγηθι, πιστεύων αὐτῷ, μὴ νῦν ἀπιστήσας, πεισθῇς ἀνιώμενος τότε ἐν αἰωνίοις τιμωρίαις. ὧν τιμωριῶν προειρημένων ὑπὸ τῶν προφητῶν, μεταγενέστεροι γενόμενοι οἱ ποιηταὶ καὶ φιλόσοφοι ἔκλεψαν[2] ἐκ τῶν ἁγίων γραφῶν, εἰς τὸ

---

[1] μὴ οὖν ἀπίστει.] Joh. xx. 27. μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

monstret, posse Deum universalem omnium hominum resurrectionem perficere. Quod si mirabilius ad resurrectionem demonstrandam spectaculum videre cupis, non solum etiam in terrestribus rebus, sed etiam in cœlo; observa menstruam lunæ resurrectionem, quemadmodum intereat et renascatur. Accipe præterea resurrectionem in te ipso, etiamsi ignoras, effectam. Forte enim aliquando in morbum incidisti, et carnes et vires, et speciem amisisti, sed misericordiam a Deo et medelam nactus, recuperasti corpus tuum et speciem et vires; et quemadmodum ignorabas, quo abiissent carnes, cum evanuere, ita nescis unde extiterint, et redierint. Dices autem, ex cibis et succis in sanguinem conversis. Recte quidem. Sed et hoc opus Dei est ita rem conficientis, non cujusquam alterius.

§ 14. Ne sis igitur incredulus, sed crede. Nam et ego non credebam id futurum; sed nunc credo postquam hæc attentius consideravi; simul quod in sacras Scripturas incidi sanctorum prophetarum, qui per Spiritum Sanctum et præterita haud secus atque evenerunt, et præsentia quomodo geruntur, prædixerunt, et futura quo ordine perficientur. Cum igitur ea quæ eveniunt et prædicta sunt, demonstrationem mihi præstent, non sum incredulus, sed credo, obtemperans Deo; cui tu quoque, si vis, obtempera, credens ei, ne si nunc incredulus fueris, credas tunc suppliciis cruciatus æternis. Quæ supplicia cum prædicta a prophetis fuissent, poetæ et philosophi illis posteriores ex

---

2 ἔκλεψαν.] Communis fere Patrum sententia fuit, Philosophos

δόγματα αὐτῶν ἀξιόπιστα γενηθῆναι. πλὴν καὶ αὐτοὶ προεῖπον περὶ τῶν κολάσεων τῶν μελλουσῶν ἔσεσθαι ἐπὶ τοὺς ἀσεβεῖς καὶ ἀπίστους, ὅπως ᾖ ἐμμάρτυρα πᾶσι, πρὸς τὸ μὴ εἰπεῖν τινὰς ὅτι οὐκ ἠκούσαμεν, οὐδὲ ἔγνωμεν. εἰ δὲ βούλει καὶ σὺ, ἔντυχε φιλοτίμως ταῖς προφητικαῖς γραφαῖς· καὶ αὐταί σε τρανότερον ὁδηγήσουσι πρὸς τὸ ἐκφυγεῖν τὰς αἰωνίους κολάσεις, καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν τοῦ Θεοῦ. ὁ γὰρ δοὺς στόμα εἰς τὸ λαλεῖν, καὶ πλάσας οὖς εἰς τὸ ἀκούειν, καὶ ποιήσας ὀφθαλμοὺς εἰς τὸ ὁρᾷν, ἐξετάσει τὰ πάντα καὶ κρινεῖ τὸ δίκαιον, ἀποδίδους [1] ἑκάστῳ κατὰ ἀξίαν τὸν μισθόν [2]. τοῖς μὲν καθ' ὑπομονὴν διὰ ἔργων ἀγαθῶν ζητοῦσι τὴν ἀφθαρσίαν, δωρήσεται ζωὴν αἰώνιον, χαρὰν, εἰρήνην, ἀνάπαυσιν, καὶ πλήθη ἀγαθῶν, ὧν οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. τοῖς δὲ ἀπίστοις, καὶ καταφρονηταῖς καὶ ἀπειθοῦσι τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, ἐπὰν ἐμφύρωνται μοιχείαις, καὶ πορνείαις, καὶ ἀρσενοκοιτίαις, καὶ πλεονεξίαις, καὶ ταῖς ἀθεμίτοις εἰδωλολατρείαις, ἔσται ὀργὴ καὶ θυμὸς, θλίψις καὶ στενοχώριαι· καὶ τὸ τέλος τοὺς τοιούτους καθέξει πῦρ αἰώνιον. ἐπειδὴ προσέθηκας, ὦ ἑταῖρε· δεῖξόν μοι τὸν Θεόν σου, οὗτός μου Θεὸς, καὶ συμβουλεύω σοι φοβεῖσθαι αὐτὸν καὶ πιστεύειν αὐτῷ.

---

multa ex Scriptura in rem suam convertisse, et pro suis venditasse; quod argumentum late prosequitur Clemens Alexandrinus. (Fell. Wolf.)

sanctis Scripturis furati sunt, ut fidem opinionibus suis conciliarent. Sed tamen hi quoque futura impiis et incredulis supplicia prædixerunt, ut nuntiata essent omnibus, ne diceret quispiam; non audivi, non cognovi. Tu quoque, si ita tibi videtur, legas studiose prophetarum scripta; hæc enim te disertius instituent, quo pacto æterna supplicia evitare, et æterna Dei bona consequi possis. Nam qui dedit os ad loquendum, atque aures finxit ad audiendum, et oculos ad videndum, exquiret omnia, et quod justum est judicabit, suam cuique pro meritis mercedem tribuens. Iis quidem, qui cum patientia, per bona opera quærunt immortalitatem, donabit vitam æternam, gaudium, pacem, quietem, et abundantiam bonorum, quæ oculus non vidit, nec auris audivit, nec in cor hominis ascendit. Incredulis autem et superbis, nec obtemperantibus veritati, obedientibus autem injustitiæ, cum repleti fuerint adulteriis, scortationibus, mascula Venere, avaritia, et nefando simulacrorum cultu, ira erit et indignatio, tribulatio et angustiæ; denique tales ignis æternus excipiet. Quoniam amice adjecisti, ostende mihi Deum tuum; Deus hic meus est, quem tibi auctor sum ut timeas eique fidem habeas.

---

[1] *ἀποδίδους . . . στενοχώριαι.*] Rom. ii. 6—9; 1 Cor. ii. 9.
[2] *τὸν μισθόν.*] Ita lego pro *τῶν μισθῶν*, monente Bened.

ANALYSIS

LIBRI SECUNDI AD AUTOLYCUM.

Post eum sermonem qui in libro primo refertur, hortatus est Theophilum Autolycus, (§ 1) ut de religione Christiana fusius dissereret. Morem illi gerit Theophilus, et in hoc secundo libro demonstrare instituit stultitiam superstitionis, cui addictus erat Autolycus; eique veritatis lucem ex prophetarum libris deductam opponit. Observat primo (§ 2) quemadmodum statuarii opus suum non magni faciunt, dum in eo laborant, mox autem venditum et in templo collocatum adorant; sic eos qui genealogias deorum legunt, non inficiari homines fuisse, sed tamen postea ut Deos colere. Quærit deinde (§ 3) cur dii gignere desierint, et cur mons Ida vacuus sit, qui diis refertus esse deberet. Tum venit ad scripta philosophorum et poetarum. Ex philosophis (§ 4) alii Deum prorsus negant aut providentiam tollunt: alii mundum increatum dicunt, nec alium deum esse, quam suam cujusque conscientiam. Ipse Plato qui Deum ingenitum et omnium creatorem docet, materiam cum eo increatam conjungit. Homerus

(§ 5) deorum originem ex aqua repetit. Non sanior Hesiodi sententia, qui (§ 6) materiam ingenitam statuit, et de deorum prosopia nugatur. Aliæ Græcorum (§ 7) fabulæ exagitantur. Similia nugantur quidam historici, ut Satyrus, qui Ptolemæi Philopatoris genus longa serie a Baccho repetit. Quos omnes scriptores errore labi confirmat Theophilus (§ 8) ex eorum de mundo et providentia dissensionibus, et exempli loco nonnullas affert poetarum de providentia discrepantes inter se sententias.

Longe dissimilis prophetarum doctrina (§ 9), quos a Spiritu Sancto afflatos fuisse probat eventus eorum quæ prædixerunt. Hi summo consensu docuerunt (§ 10) mundum a Deo per Verbum ex nihilo creatum fuisse. Operis (§ 11) sex dierum descriptio ex libro Genesis. Inde (§ 12) Scriptores Græci nonnulla hauserunt, sed ea errore corruperunt. Variæ (§ 13) de creatione mundi observationes. Imago resurrectionis (§ 14) in plantis et arboribus; in mari imago mundi. Variæ considerationes de iis quæ quarto (§ 15) quinto (§ 16) et sexto die (§ 17) creata sunt. Hominis creatio (§ 18) singulare quidpiam et eximium habet: declaratur (§ 19) ejus creatio, et collocatio apud paradisum. Addit Theophilus quæ sequuntur in libro Genesis de (§ 20) paradiso, Evæ formatione, et (§ 21) hominis lapsu. Quod autem Deus (§ 22) ambulasse in para-

diso dicitur, id de illius Verbo intelligendum esse docet Theophilus. Veritas illorum (§ 23), quæ in Genesi narrantur, ex mulierum parientium doloribus et serpentis statu manifesta est.

Paradisi (§ 24) ornatu et pulchritudine enarrata, probatur adversus hæreticos, accusandum Deum non esse, quod ligno (§ 25) scientiæ Adamum prohibuerit, aut inobedientiæ pœnam (§ 26) mortem inflixerit: nec mortalem (§ 27) Adamum nec immortalem creari par erit, sed capacem utriusque. Ejectus paradiso Adam cognovit uxorem suam, quam (§ 28) ex ejus costa Deus formaverat, ut et Deum unum esse significaret, et conjugalem amorem arctius adstringeret. Eva peperit Cain (§ 29) ac deinde Abel. Caini (§ 30) scelus et punitio et posteri recensentur, atque artes ab illis inventæ, de quibus Scriptores Græci nihil nisi fabulosum dicere potuerunt. Ejusdem Scripturæ beneficio (§ 31) originem maximarum urbium, divisionem linguarum, et seriem antiquissimorum regum cognoscimus; et quomodo (§ 32) genus humanum in universam terram dispersum fuerit. Frustra ejusmodi rerum notitia ex Ethnicorum libris (§ 33) requiritur.

Prophetæ non solum de mundi creatione nos docuerunt, sed etiam de Deo colendo (§ 34) et vita recte instituenda præcepta tradiderunt; quarum rerum specimen (§ 35)

ex eorum libris apponitur. His adduntur (§ 36) Sibyllæ versus. Quinetiam ipsi poetæ de pœnis sceleri infligendis (§ 37) ac de pluribus aliis rebus nonnulla (§ 38) dixerunt, quæ cum prophetis consentiunt.

ΘΕΟΦΙΛΟΥ ΠΡΟΣ ΑΥΤΟΛΥΚΟΝ.

ΒΙΒΛΙΟΝ Β'.

§ 1. Ἐπειδὴ πρὸ τούτων τῶν ἡμερῶν ἐγένετο λόγος ἡμῖν, ὦ ἀγαθότατε Αὐτόλυκε, πυθομένου σου τίς μου ὁ Θεὸς, καὶ δι' ὀλίγου παρασχόντος σου τὰ ὦτα τῇ ὁμιλίᾳ ἡμῖν, περὶ τῆς θεοσεβείας μου ἐξεθέμην σοι· ἔτι δὲ καὶ ἀποταξάμενοι ἑαυτοῖς μετὰ πλείστης φιλίας, ἐπορεύθημεν ἕκαστος εἰς τὸν ἑαυτοῦ οἶκον, καίπερ σκληρῶς τὰ πρῶτα ἔχοντός σου[1] πρὸς ἡμᾶς· οἶδας γὰρ καὶ μέμνησαι, ὅτι ὑπέλαβες μωρίαν εἶναι τὸν λόγον ἡμῶν· σοῦ οὖν μετὰ ταῦτα προτρεψαμένου με, κἂν ἰδιώτης ὦ τῷ λόγῳ[2], πλὴν βούλομαί σοι καὶ νῦν διὰ τοῦδε συγγράμματος ἀκριβέστερον ἐπιδεῖξαι τὴν ματαιοπονίαν καὶ ματαίαν θρησκείαν ἐν ᾗ κατέχῃ, ἅμα καὶ δι' ὀλίγων τῶν κατά σε ἱστοριῶν ὧν ἀναγινώσκεις[3], ἴσως δὲ οὐδέπω γινώσκεις, τὸ ἀληθὲς φανερόν σοι ποιῆσαι.

§ 2. Καὶ γὰρ γέλοιόν μοι δοκεῖ, λιθοξόους μὲν καὶ πλάστας, ἢ ζωγράφους, ἢ χωνευτὰς πλάσσειν τε καὶ γράφειν καὶ γλύφειν καὶ χωνεύειν, καὶ θεοὺς κατασκευάζειν, οἳ ἐπὰν γένωνται ὑπὸ τῶν τεχνιτῶν, οὐδὲν αὐτοὺς ἡγοῦνται· ὅταν δὲ ἀγορασθῶσιν ὑπό τινων καὶ ἀνατεθῶσιν[4] εἰς ναὸν καλούμενον ἢ οἶκόν τινα, τούτοις οὐ μόνον θύουσιν οἱ ὠνησάμενοι, ἀλλὰ καὶ οἱ ποιήσαντες καὶ πωλήσαντες ἔρχονται μετὰ σπουδῆς καὶ παρατάξεως θυσιῶν τε καὶ σπονδῶν εἰς τὸ προσκυνεῖν αὐτοῖς, καὶ ἡγοῦνται θεοὺς αὐτοὺς, οὐκ εἰδότες ὅτι τοιοῦτοί εἰσιν, ὁποῖοι καὶ ὅτε

---

[1] ἔχοντός σου.] Vocem σου contextui addendum censui; atque infra ἅμα καὶ legendum pro ἀλλὰ καί; utrumque ex conjectura Wolfii.

THEOPHILI AD AUTOLYCUM.

LIBER SECUNDUS.

§ 1. QUONIAM ante hos dies sermonem inter nos, optime Autolyce, habuimus, quærenti tibi quisnam meus esset Deus, ac disputationi meæ aures aliquamdiu præbenti religionem meam exposui. Quinetiam, vale utrinque dicto, ut amicissimi domum reversi sumus; quamvis primo duriuscule mecum egisses. Nosti enim et meministi pro stultitia habitum esse a te sermonem nostrum. Sed cum me postea hortatus sis, quamvis imperitus sim dicendi, volo tamen nunc quoque hoc libello accuratius tibi demonstrare inutilem laborem et inanem cultum quo detineris; atque etiam ex paucis ad vos pertinentibus historiis, quas legis quidem, sed fortasse nondum intelligis, verum tibi ante oculos ponere.

§ 2. Ridiculum enim mihi videtur statuarios, figulos, pictores, fusores, fingere, pingere, sculpere, fundere, et deos parare, qui cum ab opificibus facti fuerint, nullo in honore ab iis habentur. Ubi autem dii illi ab aliquo empti fuerint, et in templum (quod vocatur) aut domum quandam collocati, iis sacrificant non emptores solum, sed et ii qui fecere et vendidere, cum studio et apparatu victimarum accedunt ut eos adorent, et deos existimant, nec vident tales esse nunc,

---

2 *κἂν ἰδιώτης ὦ τῷ λόγῳ.*] 2 Cor. xi. 6. *εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ ἀλλ' οὐ τῇ γνώσει.*

3 *ὧν ἀναγινώσκεις κ.τ.λ.*] Act. viii. 30.

4 *ὑπό τινων καὶ ἀνατεθῶσιν.*] Hæc verba ex MS. Bodl. in textum recte ut videtur admiserunt Fell. et Wolf.

ἐγένοντο ὑπ' αὐτῶν, ἤτοι λίθος, ἢ χαλκὸς, ἢ ξύλον, ἢ χρῶμα, ἢ καὶ ἑτέρα τις ὕλη. τοῦτο δὲ καὶ ὑμῖν συμβέβηκε τοῖς ἀναγινώσκουσι τὰς ἱστορίας καὶ γενεαλογίας τῶν λεγομένων θεῶν· ὁπόταν γὰρ ἐντυγχάνητε ταῖς γενέσεσιν αὐτῶν, ὡς ἀνθρώπους αὐτοὺς νοεῖτε· ὕστερον δὲ θεοὺς προσαγορεύετε, καὶ θρησκεύετε αὐτοῖς, οὐκ ἐφιστάνοντες οὐδὲ συνίεντες, ὅτι οἵους αὐτοὺς ἀνέγνωτε γεγονέναι, τοιοῦτοι καὶ ἐγεννήθησαν.

§ 3. Καὶ τῶν μὲν τότε θεῶν, εἴπερ ἐγεννῶντο, γένεσις πολλὴ ηὑρίσκετο· τὸ δὲ νῦν ποῦ θεῶν γένεσις δείκνυται; εἰ γὰρ τότε ἐγεννῶν καὶ ἐγεννῶντο, δῆλον ὅτι ἐχρῆν καὶ ἕως τοῦ δεῦρο γίνεσθαι θεοὺς γεννητούς· εἰ δέ μή γε, ἀσθενὲς τὸ τοιοῦτο νοηθήσεται. ἢ γὰρ ἐγήρασαν, διὸ οὐκ ἔτι γεννῶσιν, ἢ ἀπέθανον, καὶ οὐκ ἔτι εἰσίν. εἰ γὰρ ἐγεννῶντο θεοὶ, ἐχρῆν καὶ ἕως τοῦ δεῦρο γεννᾶσθαι· καθάπερ γὰρ καὶ ἄνθρωποι γεννῶνται. μᾶλλον δὲ καὶ πλείονες θεοὶ ὤφειλον εἶναι τῶν ἀνθρώπων, ὥς φησι Σίβυλλα·

Εἰ δὲ θεοὶ γεννῶσι, καὶ ἀθάνατοί γε μένουσι,
Πλείονες ἀνθρώπων γεγενημένοι οἱ θεοὶ ἦσαν,
Οὐδὲ τόπος στῆναι θνητοῖς οὐκ ἂν ποθ' ὑπῆρξεν.

Εἰ γὰρ ἀνθρώπων θνητῶν καὶ ὀλιγοχρονίων ὄντων τὰ γεννώμενα τέκνα ἕως τοῦ δεῦρο δείκνυται, καὶ οὐ πέπαυται τὸ μὴ γεννᾶσθαι ἀνθρώπους, διὸ πληθύουσι πόλεις καὶ κῶμαι, ἔτι μὴν καὶ χῶραι κατοικοῦνται, πῶς οὐχὶ μᾶλλον ἐχρῆν θεοὺς τοὺς μὴ ἀποθνήσκοντας, κατὰ τοὺς ποιητὰς, γεννᾶν καὶ γεννᾶσθαι, καθῶς φατε θεῶν γένεσιν γεγενῆσθαι; πρὸς τί δὲ μὲν τότε τὸ ὄρος τὸ καλούμενον Ὄλυμπος ὑπὸ θεῶν κατῳκεῖτο, νυνὶ δὲ ἔρημον τύγχανει; ἢ τίνος ἕνεκεν, τότε μὲν ὁ Ζεὺς ἐν τῇ Ἴδῃ

quales cum ab ipsis fierent, lapidem, æs, lignum, colorem, aut quamlibet aliam materiam. Idem et vobis contingit, qui legitis historias et genealogias eorum, qui dicuntur, deorum. Nam cum eorum generationes legitis, homines esse existimatis; postea vero deos vocatis et colitis, non attendentes nec intelligentes quales eos genitos legistis, tales et genitos fuisse.

§ 3. Et deorum quidem, siquidem geniti fuere, generatio fœcunda olim inveniebatur. Nunc vero, ubi deorum generatio ostenditur? Nam si olim gignebant et gignebantur, liquet etiam huc usque generandos fuisse Deos, sin minus, genus ejusmodi infirmum esse intelligetur. Vel enim senuere nec jam possunt gignere, vel mortui sunt nec extant amplius. Nam si nascuntur Dii, oportet eos etiam huc usque nasci, quemadmodum et homines nascuntur: imo et plures esse deos quam homines, ut ait Sibylla;

Nam si Di gignunt, immortalesque manebunt,
Di geniti plures multo mortalibus essent,
Nec locus esset ubi jam homines consistere possent.

Nam si hominum, qui mortales sunt et ævi brevissimi, propago adhuc exhibetur, nec nasci homines desiere, ex quo fit ut plenæ sint urbes et pagi, agrique ipsi incolantur, an non magis oportebat deos, qui ut volunt poetæ non moriuntur, gignere et gigni, quemadmodum dicitis deorum fieri generationem? Cur etiam mons ille qui dicitur Olympus olim a Diis incolebatur, nunc autem desertus est? Aut cur olim

κατῴκει, καὶ ἐγινώσκετο οἰκῶν ἐκεῖ κατὰ τὸν Ὅμηρον καὶ τοὺς λοιποὺς ποιητάς, νυνὶ δὲ ἀγνοεῖται; διὰ τί δὲ καὶ οὐκ ἦν πανταχόσε, ἀλλ' ἐν μέρει γῆς ηὑρίσκετο; ἢ γὰρ τῶν λοιπῶν ἠμέλει, ἢ ἀδύνατος ἦν τοῦ πανταχόσε εἶναι, καὶ τῶν πάντων προνοεῖν. εἰ γὰρ ἦν, εἰ τύχοι εἰπεῖν, ἐν τόπῳ ἀνατολικῷ, οὐκ ἦν ἐν τόπῳ δυτικῷ· εἰ δὲ αὖ πάλιν ἐν τοῖς δυτικοῖς ἦν, οὐκ ἦν ἐν τοῖς ἀνατολικοῖς. Θεοῦ δὲ τοῦ ὑψίστου καὶ παντοκράτορος, καὶ τοῦ ὄντως Θεοῦ, τοῦτό ἐστι μὴ μόνον τὸ πανταχόσε εἶναι, ἀλλὰ καὶ πάντα ἐφορᾷν[1], καὶ πάντων ἀκούειν· ἔτι μὴν μηδὲ τὸ ἐν τόπῳ χωρεῖσθαι· εἰ δὲ μή γε, μείζων ὁ χωρῶν τόπος αὐτοῦ εὑρεθήσεται· μεῖζον γάρ ἐστι τὸ χωροῦν τοῦ χωρουμένου· Θεὸς γὰρ οὐ χωρεῖται, ἀλλὰ αὐτός ἐστι τόπος τῶν ὅλων. πρὸς τί δὲ καὶ καταλέλοιπεν ὁ Ζεὺς τὴν Ἴδην; πότερον τελευτήσας, ἢ οὐκ ἔτι ἤρεσεν αὐτῷ ἐκεῖνο τὸ ὄρος; ποῦ δὲ καὶ ἐπορεύθη; εἰς οὐρανούς; οὐχί. ἀλλὰ ἐρεῖς εἰς Κρήτην; ναί, ὅπου καὶ τάφος αὐτῷ ἕως τοῦ δεῦρο δείκνυται. πάλιν φήσεις εἰς Πίσαν, ὁ κλέων ἕως τοῦ δεῦρο τὰς χεῖρας Φειδίου. ἔλθωμεν τοίνυν ἐπὶ τὰ συγγράμματα τῶν φιλοσόφων καὶ ποιητῶν.

§ 4. Ἔνιοι μὲν τῆς στοᾶς ἀρνοῦνται καὶ τὸ ἐξ ὅλου Θεὸν εἶναι, ἢ εἰ καὶ ἔστι, μηδενός φασι φροντίζειν τὸν Θεόν, πλὴν ἑαυτοῦ· καὶ ταῦτα μὲν παντελῶς Ἐπικούρου καὶ Χρυσίππου ἡ ἄνοια ἀπεφήνατο. ἕτεροι δέ φασιν αὐτοματισμὸν τῶν πάντων εἶναι, καὶ τὸν κόσμον ἀγέννητον[2], καὶ φύσιν ἀΐδιαν[3], καὶ τὸ σύνολον

---

[1] *πάντα ἐφορᾷν.*] Alluditur ad Hom. Od. λ. 108.

Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει.

[2] *ἀγενητόν.*] *increatum.* Ignorabat scilicet Theophilus distinctionem, quæ ex concilii Niceni tempore demum obtinebat, ut *γεννητὸς*

in monte Ida Jupiter habitabat, ibique cum domi esse constabat, ut Homerus et cæteri poetæ testantur, nunc vero ubinam sit ignoratur? Cur non erat ubique, sed in terræ parte inveniebatur? Aut enim partes reliquas negligebat, vel non poterat ubique esse et omnibus providere. Nam si erat exempli gratia in loco Orientali, non erat in Occidentali; rursus si in Occidentalibus locis, non erat in Orientalibus. Dei autem altissimi et omnipotentis et vere Dei est, non solum ubique esse, sed etiam omnia inspicere, omnia audire; nedum loco contineri; alioqui locus continens ipso major invenietur; est enim quod continet majus eo quod continetur; Deus autem non continetur, sed ipse est omnium locus. Quare autem Idam Jupiter reliquit? an quia mortuus est, an quia mons ille minus jam ei placebat? Quonam autem profectus est? in cœlum? minime. Dices forte in Cretam: optime; ibi enim hactenus ejus sepulcrum ostenditur. Forte etiam Pisam abiisse dices, ubi hactenus Phidiæ manum celebrem facit. Veniamus autem ad scripta philosophorum et poetarum.

§ 4. Stoici quidam Deum esse omnino negant, aut, si quis sit, illum nullius curam gerere, præterquam sui. Atque hæc quidem Epicuri et Chrysippi amentia pronunciavit. Alii omnia fortuito fieri asserunt, ac mundum increatum esse, et naturam æternam; et nullam omnino esse Dei pro-

---

genitus, *γενητὸς creatus* significant. Vide Burtoni *Testimonies*, &c. p. 27.

[3] *ἀΐδίαν.*] Ita conjecit pro *ἰδίαν* editor Bened. hic et infra § 8.

πρόνοιαν μὴ εἶναι Θεοῦ ἐτόλμησαν ἐξειπεῖν· ἀλλὰ Θεὸν εἶναι μόνον φασὶ τὴν ἑκάστου συνείδησιν. ἄλλοι δ' αὖ τὸ δι' ὅλου κεχωρηκὸς πνεῦμα Θεὸν δογματίζουσι. Πλάτων δὲ καὶ οἱ τῆς αἱρέσεως αὐτοῦ, Θεὸν μὲν ὁμολογοῦσιν ἀγέννητον καὶ πατέρα καὶ ποιητὴν τῶν ὅλων εἶναι· εἶτα ὑποτίθενται Θεὸν καὶ ὕλην ἀγέννητον, καὶ ταύτην φασὶ συνηκμακέναι τῷ Θεῷ. εἰ δὲ Θεὸς ἀγέννητος, καὶ ὕλη ἀγέννητος, οὐκ ἔτι ὁ Θεὸς ποιητὴς τῶν ὅλων ἐστὶ, κατὰ τοὺς Πλατωνικοὺς, οὐδὲ μὴν μοναρχία Θεοῦ δείκνυται, ὅσον τὸ κατ' αὐτούς. ἔτι δὲ καὶ ὥσπερ ὁ Θεὸς ἀγέννητος ὢν καὶ ἀναλλοίωτός ἐστιν, οὕτως εἰ καὶ ἡ ὕλη ἀγέννητος ἦν, καὶ ἀναλλοίωτος καὶ ἰσόθεος ἦν. τὸ γὰρ γεννητὸν τρεπτὸν καὶ ἀλλοίωτον· τὸ δὲ ἀγέννητον ἄτρεπτον καὶ ἀναλλοίωτον. τί δὲ μέγα εἰ ὁ Θεὸς ἐξ ὑποκειμένης ὕλης ἐποίει τὸν κόσμον; καὶ γὰρ τεχνίτης ἄνθρωπος ἐπὰν ὕλην λάβῃ ἀπό τινος, ἐξ αὐτῆς ὅσα βούλεται ποιεῖ· Θεοῦ δὲ ἡ δύναμις ἐν τούτῳ φανεροῦται, ἵνα ἐξ οὐκ ὄντων ποιῇ ὅσα βούλεται· καθάπερ καὶ τὸ ψυχὴν δοῦναι καὶ κίνησιν οὐχ ἑτέρου τινός ἐστιν, ἀλλ' ἢ μόνου Θεοῦ. καὶ γὰρ ἄνθρωπος εἰκόνα μὲν ποιεῖ, λόγον δὲ καὶ πνοὴν ἢ αἴσθησιν οὐ δύναται δοῦναι τῷ ὑπ' αὐτοῦ γινομένῳ. Θεὸς δὲ τούτου πλεῖον τοῦτο κέκτηται, τὸ ποιεῖν λογικὸν, ἔμπνουν, αἰσθητικόν. ὥσπερ οὖν ἐν τούτοις πᾶσι δυνατώτερός ἐστιν ὁ Θεὸς τοῦ ἀνθρώπου, οὕτω καὶ τὸ ἐξ οὐκ ὄντων ποιεῖν καὶ πεποιηκέναι τὰ ὄντα καὶ ὅσα βούλεται, καθὼς βούλεται.

§ 5. Ὥστε ἀσύμφωνός ἐστιν ἡ γνώμη κατὰ τοὺς φιλοσόφους καὶ συγγραφεῖς. τούτων γὰρ ταῦτα ἀποφηναμένων, εὑρίσκεται ὁ ποιητὴς Ὅμηρος, ἑτέρᾳ ὑποθέσει εἰσάγων γένεσιν οὐ μόνον κόσμου, ἀλλὰ καὶ θεῶν· φησὶ γάρ που·

videntiam dicere ausi sunt, sed Deum tantummodo esse uniuscujusque conscientiam. Alii vero spiritum illum qui omnia pervadit, Deum esse decernunt. Plato autem et qui illum sequuntur Deum quidem fatentur ingenitum, et patrem et conditorem omnium; sed deinde statuunt Deum et materiam increatam, eamque Deo coævam esse dicunt. Quod si Deus est increatus, et materia increata, non jam Deus est creator omnium, secundum Platonicos, nec Dei constabit monarchia, quantum in ipsis est. Deinde quemadmodum Deus, qui increatus est, idem est etiam immortalis, ita et materia si increata esset, immutabilis quoque et Deo æqualis foret. Quod enim creatum est, verti et mutari potest; increatum autem nec verti potest nec mutari. Quid autem magni esset, si Deus ex materia jam existente mundum faceret? Opifex enim apud nos cum materiam ab aliquo acceperit, ex ea quicquid vult facit. Dei autem potentia in eo ostenditur, quod e nihilo facit quæcunque voluerit: quemadmodum animam et motum dare non est alterius cujusquam, præterquam Dei. Homo enim imaginem effingit, sed rationem respirationem sensum dare non potest operi suo. Deus autem hoc amplius habet, ut ratione respiratione et sensu præditum opus efficiat. Quemadmodum igitur in his omnibus potentior est Deus quam homo; ita etiam in eo quod ex nihilo produxerit et nunc producat quæcunque voluit, et quo voluit modo.

§ 5. Discordes igitur sunt philosophorum et reliquorum scriptorum sententiæ. Nam cum hæc illi dixerint, Homerus poeta, hypothesi alia usus, generationem non mundi solum sed et deorum intulisse deprehenditur. Ait enim alicubi,

Ὠκεανόν[1] τε θεῶν γένεσιν, καὶ μητέρα Τηθὺν,
Ἐξ οὗπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα.

ἃ δὴ λέγων οὐκ ἔτι Θεὸν συνιστᾷ. τίς γὰρ οὐκ ἐπίσταται, τὸν ὠκεανὸν ὕδωρ εἶναι; εἰ δὲ ὕδωρ, οὐκ ἄρα Θεός. ὁ δὲ Θεὸς εἰ τῶν ὅλων ποιητής ἐστι, καθὼς καί ἐστιν, ἄρα καὶ τοῦ ὕδατος καὶ τῶν θαλασσῶν κτίστης ἐστίν. Ἡσίοδος δὲ καὶ αὐτὸς οὐ μόνον θεῶν γένεσιν ἐξεῖπεν, ἀλλὰ καὶ αὐτοῦ τοῦ κόσμου· καὶ τὸν μὲν κόσμον γενητὸν εἰπὼν, ἠτόνησεν εἰπεῖν ὑφ' οὗ γέγονεν. ἔτι μὴν καὶ θεοὺς ἔφησε Κρόνον καὶ τὸν ἐξ αὐτοῦ Δία, Ποσειδῶνά τε, καὶ Πλούτωνα, καὶ τούτους μεταγενεστέρους εὑρίσκομεν τοῦ κόσμου. ἔτι δὲ καὶ τὸν Κρόνον πολεμεῖσθαι ὑπὸ τοῦ Διὸς τοῦ ἰδίου παιδὸς ἱστορεῖ. οὕτω γάρ φησι·

Κάρτεϊ[2] νικήσας πατέρα Κρόνον· εὖ δὲ ἕκαστα
Ἀθανάτοις διέταξεν ὁμῶς, καὶ ἐπέφραδε τιμάς.

εἶτα ἐπιφέρει λέγων τὰς τοῦ Διὸς θυγατέρας, ἃς καὶ Μούσας προσαγορεύει, ὧν ἱκέτης εὑρίσκεται βουλόμενος μαθεῖν παρ' αὐτῶν, τίνι τρόπῳ τὰ πάντα γεγένηται· λέγει γάρ·

Χαίρετε[3] τέκνα Διὸς, δότε δ' ἱμερόεσσαν ἀοιδὴν,
Κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων,
Οἳ γῆς ἐξεγένοντο, καὶ οὐρανοῦ ἀστερόεντος,
Νυκτός τε δνοφερῆς, οὓς θ' ἁλμυρὸς ἔτρεφε πόντος.
Εἴπατε δ' ὡς τὰ πρῶτα θεοὶ, καὶ γαῖα γένοντο,
Καὶ ποταμοὶ, καὶ πόντος ἀπείριτος, οἴδματι θύων,
Ἄστρα τε λαμπετόωντα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν·

---

[1] Ὠκεανόν.] Il. Ξ. 201. Φ. 196.
[2] Κάρτεϊ.] Hesiod. Theogn. 74.

Oceanumque deûm genitorem et Tethya matrem,
Unde omnes fluvii nascuntur, et æquora cuncta.

Quæ cum dicit, non jam Deum nobis exhibet. Quis enim nescit Oceanum aquam esse? Quod si aqua, non jam Deus. Deus vero si omnium creator est, ut revera est, aquæ profecto et marium creator est. Ipse etiam Hesiodus non solum deorum ortum sed et ipsius mundi exposuit. Ac mundum quidem creatum cum diceret, non valuit dicere a quo creatus esset. Insuper Deos appellavit Saturnum ejusque filium Jovem, Neptunum et Plutonem, quos mundo minores natu invenimus. Narrat etiam Saturnum a Jove proprio filio debellatum. Sic enim ait;

Saturno valide domito, mox singula rite
Cælicolis dedit, et justos divisit honores.

Postea infert Jovis filiarum commemorationem, quas et Musas appellat, iisque supplex invenitur, discere ex eis volens quomodo facta sint omnia. Ait enim

Alma Jovis soboles, dulcem concedite cantum,
Concelebrate sacrum genus immortale deorum,
Quos peperit terra et stellis radiantibus ardens
Cælum et nox tenebrosa; quibus dedit ubera pontus.
Dicite vos etiam divûm incunabula, terræ,
Lympharum, et maris, immenso quod volvitur æstu;
Fulgentes stellas, cælum super omnia latum;

---

[3] Χαίρετε.] Hesiod. Theogn. 104.

Οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ, δωτῆρες ἑάων,
Ὥς τ' ἄφενος δάσσαντο, καὶ ὡς τιμὰς διέλοντο.
Ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον·
Ταῦτά μοι ἔσπετε Μοῦσαι ὀλύμπια δώματ' ἔχουσαι,
Ἐξ ἀρχῆς, καὶ εἴπαθ' ὅτι πρῶτον γένετ' αὐτῶν.

Πῶς δὲ ταῦτα ἠπίσταντο αἱ Μοῦσαι, μεταγενέστεραι οὖσαι τοῦ κόσμου; ἢ πῶς ἠδύναντο διηγήσασθαι τῷ Ἡσιόδῳ· ὅπου δὲ ὁ πατὴρ αὐτῶν οὔπω γεγένηται;

§ 6. Καὶ ὕλην μὲν τρόπῳ τινὶ [1] ὑποτίθεται καὶ κόσμου ποίησιν, λέγων·

Ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
Ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,
Τάρταρά τ' ἠερόεντα, μυχῷ χθονὸς εὐρυοδείης,
Ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,
Λυσιμελὴς, πάντων τε θεῶν πάντων τ' ἀνθρώπων
Δάμναται ἐν στήθεσσι νόον, καὶ ἐπίφρονα βουλήν.
Ἐκ Χάεος δ' Ἔρεβός τε, μέλαινά τε Νὺξ ἐγένοντο.
Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
Οὓς τέκε κυσαμένη, Ἐρέβει φιλότητι μιγεῖσα.
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι,
Ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεὶ,
Γείνατο δ' οὔρεα μακρὰ, θεῶν χαρίεντας ἐναύλους
Νυμφέων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα,
Ἠδὲ καὶ ἀτρύγετον πέλαγος τέκεν οἴδματι θύον,

---

[1] *τρόπῳ τινὶ.*] i. e. Hesiodus in principio materiam fuisse, et creationem sine creatore admisit, quia materiam et creationem

His et prognatos superos, bona munera cunctis
Donantes; ut opes tribuant, et honoribus ornent;
Cesserit ut primum his spatiosi regia Olympi:
Dicite Pierides, nam vos habitatis in illa,
Ordine quæque suo, et quis magnus originis auctor.

Hæc autem quomodo noverunt Musæ, quæ mundo minores natu sunt? Aut quomodo poterant narrare Hesiodo, cum pater earum nondum genitus esset?

§ 6. Ac materiam quidem quodammodo statuit Hesiodus, et mundi generationem, cum dicit;

Primum informe chaos fuerat, tunc pectora late
Extendens tellus, quæ Diis fundamina cunctis
Dat, quibus incoluisse datum est juga candida Olympi;
Tartara succedunt subter penetralia terræ;
Atque Amor; hic inter divos pulcherrimus omnes,
Illorum solvit curas hominumque recludit
Pectora, consiliumque sagax avertit ab illis.
Triste chaos Erebum peperit, noctemque profundam;
Progenies noctis fuerant ætherque diesque,
Quos tulerat postquam est Erebo conjuncta in amore.
At cœlum tellus genuit flammantibus astris
Distinctum, ut liquidis illam circumdaret ulnis,
Numinibusque esset sedes æterna beatis;
Quin genuit montes altos, gratissima castra
Nympharum, quæ præruptis convallibus errant.
Atque etiam sterilis peperit freta turbida ponti,

recenseus utrum materia ornatum a semetipsa an a Deo acceperit, haud edisserit. (Bened.)

Πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα, τέκ' Ὠκεανὸν βαθυδίνην.

καὶ ταῦτα εἰπὼν, οὐδὲ οὕτως ἐδήλωσεν ὑπὸ τίνος ἐγένοντο. εἰ γὰρ ἐν πρώτοις ἦν χάος, καὶ ὕλη τις προϋπέκειτο ἀγέννητος οὖσα· τίς ἄρα ἦν ὁ ταύτην μετασκευάζων, καὶ μεταῤῥυθμίζων, καὶ μεταμορφῶν; πότερον αὐτὴ ἑαυτὴν ἡ ὕλη μετεσχημάτιζε καὶ ἐκοσμεῖ; (ὁ γὰρ Ζεὺς μετὰ χρόνον πολὺν γεγένηται, οὐ μόνον τῆς ὕλης, ἀλλὰ καὶ τοῦ κόσμου, καὶ πλήθους ἀνθρώπων· ἔτι μὴν καὶ ὁ πατὴρ αὐτοῦ Κρόνος) ἢ μᾶλλον ἦν κύριόν τι τὸ ποιῆσαν αὐτὴν, λέγω δὲ Θεὸς ὁ καὶ κατακοσμήσας. ἔτι μὴν κατὰ πάντα τρόπον φλυαρῶν εὑρίσκεται, καὶ ἐνάντια ἑαυτῷ λέγων· εἰπὼν γὰρ γῆν καὶ οὐρανὸν καὶ θάλασσαν, ἐξ αὐτῶν τοὺς θεοὺς βούλεται γεγονέναι, καὶ ἐκ τούτων ἀνθρώπους δεινοτάτους τινὰς συγγενεῖς θεῶν καταγγέλλει, Τιτάνων γένος καὶ Κυκλώπων, καὶ Γιγάντων πληθὺν, τῶν τε κατὰ Αἴγυπτον δαιμόνων ἢ ματαίων ἀνθρώπων, ὡς μέμνηται Ἀπολλωνίδης ὁ καὶ Ὡράπιος ἐπικληθεὶς, ἐν βίβλῳ τῇ ἐπιγραφομένῃ Σεμενουθὶ, καὶ ταῖς λοιπαῖς κατ' αὐτὸν ἱστορίαις, περί τε τῆς θρησκείας τῆς Αἰγυπτιακῆς, καὶ τῶν βασιλέων αὐτῶν, καὶ τῆς ἐν αὐτοῖς ματαιοπονίας [1].

§ 7. Τί δέ μοι λέγειν τοὺς κατὰ Ἕλληνας μύθους; Πλούτωνα μὲν σκότους βασιλεύοντα, καὶ Ποσειδῶνα ὑπὸ πόντον δύνοντα, καὶ τῇ Μελανίππῃ [2] περιπλεκόμενον, καὶ υἱὸν ἀνθρωποβόρον γεννήσαντα· ἢ περὶ τῶν τοῦ Διὸς παίδων ὁπόσα οἱ συγγραφεῖς ἐτραγῴδησαν·

---

[1] *τῆς ἐν αὐτοῖς ματαιοπονίας.*] Ita lego pro *τὴν ... ματαιοπονίαν*, ex monitu Wolfii. Ægyptiorum autem *ματαιοπονίας* exemplum præ-

Queis nunquam subrisit amor; post tempora longa
Oceanum peperit, cœlo conjuncta, profundum.

Quæ cum diceret, ne illud quidem demonstravit, a quo condita essent. Nam si initio chaos erat, et materia quædam ingenita præextitit; quis tandem eam disposuit atque ordine et forma donavit? Utrum materia sibi ipsa formam et ornatum addidit (nam Jupiter multo natu posterior est, non solum materia sed etiam mundo et hominum multitudine, imo ipsius etiam pater Saturnus) an potius causa quædam princeps extitit quæ eam faceret; Deum dico, qui eam exornavit? Quinetiam omnino nugari invenitur, et secum pugnare; nam cum terram et cœlum et mare dicit, ex his ortos esse deos vult, atque rursus ex his homines quosdam terribiles, deorum cognatos, Titanum genus, Cyclopum et Gigantum turbam, dæmonumque Ægyptiorum, vel potius hominum vanorum, quorum meminit Apollonius cognomento Horapius, in libro qui inscribitur Semenouthi, et cæteris historiis ab eo scriptis de religione Ægyptiaca et regibus Ægyptiis, et vano eorum labore in operibus suis.

§ 7. Quid attinet Græcorum fabulas referre? Plutonem tenebrarum regem, Neptunum mare subeuntem, Melanippæ complexibus hærentem, ac filii homines vorantis genitorem; aut de Jove quot et quantas tragœdias scriptores egerint? Ceterum ut constet eos non deos sed

---

stat, ut observat Fellus, pyramidum structura.

[2] Μελανίππῃ.] Ita emendavit Wolf. pro Μεναλίππῃ.

καὶ ὅτι οὗτοι ἄνθρωποι καὶ οὐ θεοὶ ἐγεννήθησαν, τὸ γένος αὐτῶν αὐτοὶ καταλέγουσιν. Ἀριστοφάνης δὲ ὁ κωμικὸς, ἐν ταῖς ἐπιγραφομέναις ὄρνισιν ἐπιχειρήσας περὶ τῆς τοῦ κόσμου ποιήσεως, ἔφη ἐν πρώτοις ᾠὸν γεγενῆσθαι τὴν σύστασιν τοῦ κόσμου, λέγων·

Τίκτει [1] πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ᾠόν.

ἀλλὰ καὶ Σάτυρος ἱστορῶν τοὺς δήμους [2] Ἀλεξανδρέων, ἀρξάμενος ἀπὸ Φιλοπάτορος τοῦ καὶ Πτολεμαίου προσαγορευθέντος, τούτου μηνύει Διόνυσον ἀρχηγέτην γεγονέναι. διὸ καὶ φυλὴν τὴν Διονυσίαν [3] ὁ Πτολεμαῖος πρώτην κατέστησεν. λέγει οὖν ὁ Σάτυρος οὕτως· Διονύσου καὶ Ἀλθέας τῆς Θεστίου γεγενῆσθαι Δηϊάνειραν, τῆς δὲ καὶ Ἡρακλέους τοῦ Διὸς οἶμαι Ὕλλον, τοῦ δὲ Κλεόδημον, τοῦ δὲ Ἀριστόμαχον, τοῦ δὲ Τήμενον, τοῦ δὲ Κεῖσον, τοῦ δὲ Μάρωνα, τοῦ δὲ Θέστιον, τοῦ δὲ Ἀκοὸν, τοῦ δὲ Ἀριστομίδαν, τοῦ δὲ Καρανὸν, τοῦ δὲ Κοινὸν, τοῦ δὲ Τυρίμμαν, τοῦ δὲ Περδίκκαν, τοῦ δὲ Φίλιππον, τοῦ δὲ Ἀέροπον, τοῦ δὲ Ἀλκετὰν, τοῦ δὲ Ἀμύνταν, τοῦ δὲ Βόκρον, τοῦ δὲ Μελέαγρον, τοῦ δὲ Ἀρσινόην, τῆς δὲ καὶ Λάγου Πτολεμαῖον τὸν καὶ Σωτῆρα, τοῦ δὲ καὶ Βερενίκης Πτολεμαῖον τὸν Φιλάδελφον, τοῦ δὲ καὶ Ἀρσινόης Πτολεμαῖον τὸν Εὐεργέτην, τοῦ δὲ καὶ Βερενίκης τῆς Μάγα τοῦ ἐν Κυρήνῃ βασιλεύσαντος Πτολεμαῖον τὸν Φιλοπάτορα [4]. ἡ μὲν οὖν πρὸς Διόνυσον τοῖς ἐν Ἀλεξανδρείᾳ βασιλεύσασι συγγένεια οὕτω περιέχει. ὅθεν καὶ ἐν

---

[1] Τίκτει.] Aristoph. Aves, 695. Eandem opinionem de mundi ortu attribuit Orpheo Athenagoras, Legat. pro Christ. 18.

[2] τοὺς δήμους.] Familias, sive gentes, ex quibus una quæque tribus constabat.

[3] τὴν Διονυσίαν.] Has voces addidi, flagitante sensu, et annuente codice Bodl. in quo legitur ad marginem ἴσως τὴν Διονυσίαν.

homines extitisse, natales eorum iidem scriptores recensent. Aristophanes autem comicus in ea fabula quæ Aves inscribitur, aggrediens de mundi creatione disserere, in principio ovum fuisse mundi originem his verbis asserit;

Zephyrinum fertur nox atris ovum exclusisse sub alis.

Sed et Satyrus gentes Alexandrinas describens, initio a Philopatore, qui et Ptolemæus appellatus est, ducto, illius declarat Bacchum auctorem generis fuisse; quamobrem tribum Dionysiam Ptolemæus primam constituit. Sic igitur ait Satyrus; ex Baccho et Althea Thestii filia natam esse Deianiram; ex hac et Hercule Jovis filio Hyllum arbitror; ex isto Cleodemum, ex quo Aristomachum; ex hoc Temenum; ex isto Ceisum, ex quo Maronem; ex hoc Thestium; ex hoc Acoum; ex hoc Aristomidam; ex hoc Caranum; ex hoc Cœnum; ex hoc Tyrimmam; ex hoc Perdiccam; ex hoc Philippum; ex hoc Æropum; ex hoc Alcetam; ex hoc Amyntam; ex hoc Bocrum; ex hoc Meleagrum; ex hoc Arsinoen; ex hoc et Lago Ptolemæum qui et Soter; ex hoc et Berenice Ptolemæum Philadelphum; ex hoc et Arsinoe Ptolemæum Euergetem; ex hoc et Berenice quæ Magæ Cyrensium regis filia fuit, Ptolemæum Philopatorem. Sic igitur se habet regum Alexandrinorum cum Baccho cognatio. Quapropter et in Dionysia tribu gentes sunt distinctæ;

---

[4] *Φιλοπάτορα.*] Ita scribendum pro *Φιλάδελφον* monet post alios editor Bened. Idem observat, in hac genealogia multos reges omitti, nec Theophilum cum Eusebio in Chronicis et Clemente Alex. Strom. I. consentire.

τῇ Διονυσίᾳ φυλῇ δῆμοι εἰσὶ κατακεχωρισμένοι· Ἀλθῆς ἀπὸ τῆς γενομένης γυναικὸς Διονύσου, θυγατρὸς δὲ Θεστίου Ἀλθέας· Δηϊανείρης ἀπὸ τῆς θυγατρὸς Διονύσου καὶ Ἀλθέας, γυναικὸς δὲ Ἡρακλέους. ὅθεν καὶ τὰς προσωνυμίας ἔχουσιν οἱ κατ' αὐτοὺς δῆμοι· Ἀριάδνης ἀπὸ τῆς θυγατρὸς Μίνω, γυναικὸς δὲ Διονύσου, παιδὸς πατροφίλης, τῆς μιχθείσης Διονύσῳ ἐν μορφῇ πρύμνιδι· Θεστὶς ἀπὸ Θεστίου τοῦ Ἀλθέας πατρός· Θοαντὶς ἀπὸ Θόαντος παιδὸς Διονύσου· Σταφυλὶς ἀπὸ Σταφύλου υἱοῦ Διονύσου· Εὐαινὶς ἀπὸ Εὐνόος υἱοῦ Διονύσου· Μαρωνὶς ἀπὸ Μάρωνος υἱοῦ Ἀριάδνης καὶ Διονύσου· οὗτοι γὰρ πάντες υἱοὶ Διονύσου. ἀλλὰ καὶ ἕτεραι πολλαὶ ὀνομασίαι γεγόνασι καὶ εἰσὶν ἕως τοῦ δεῦρο, ἀπὸ Ἡρακλέους Ἡρακλεῖδαι καλούμενοι, καὶ ἀπὸ Ἀπόλλωνος Ἀπολλωνίδαι καὶ Ἀπολλώνιοι, καὶ ἀπὸ Ποσειδῶνος Ποσειδώνιοι· καὶ ἀπὸ Διὸς Δῖοι καὶ Διογέναι.

§ 8. Καὶ τί μοι τὸ λοιπὸν τὸ πλῆθος τῶν τοιούτων ὀνομασιῶν καὶ γενεαλογιῶν καταλέγειν; ὥστε κατὰ πάντα τρόπον ἐμπαίζονται οἱ συγγραφεῖς πάντες καὶ ποιηταὶ καὶ φιλόσοφοι λεγόμενοι· ἔτι μὴν καὶ οἱ προσέχοντες αὐτοῖς. μύθους γὰρ μᾶλλον καὶ μωρίας συνέταξαν περὶ τῶν κατ' αὐτοὺς θεῶν. οὐ γὰρ ἀπέδειξαν αὐτοὺς θεούς, ἀλλὰ ἀνθρώπους, οὓς μὲν μεθύσους, ἑτέρους πόρνους καὶ φονεῖς. ἀλλὰ καὶ περὶ τῆς κοσμογονίας, ἀσύμφωνα ἀλλήλοις καὶ φαῦλα ἐξεῖπον. πρῶτον μὲν ὅτι τινὲς ἀγέννητον τὸν κόσμον ἀπεφήναντο, καθὼς καὶ ἔμπροσθεν ἐδηλώσαμεν· καὶ οἱ μὲν ἀγέννητον αὐτὸν καὶ ἀϊδίαν[1] φύσιν φάσκοντες, οὐκ ἀκόλουθα εἶπον τοῖς γενητὸν αὐτὸν δογματίσασιν. εἰκασμῷ γὰρ ταῦτα καὶ ἀνθρωπίνῃ ἐννοίᾳ ἐφθέγξαντο, καὶ οὐ κατὰ ἀλήθειαν. ἕτεροι δ'

Althes ab uxore Bacchi et filia Thestii Althea; Deianiræ a filia Bacchi et Altheæ, Herculis autem uxore. Unde gentes apud eos appellantur; Ariadnes a Minois filia, Bacchi uxore, puella patrem diligente, quæ cum Baccho in aliena forma concubuit. Thestis a Thestio Altheæ patre; Thoantis a Thoante Bacchi filio; Staphylis a Staphylo Bacchi filio. Euænis ab Eunoo Bacchi filio; Maronis a Marone Ariadnes et Bacchi filio; hi enim omnes Bacchi filii; sed et multæ aliæ appellationes extiterunt, atque extant hactenus; ab Hercule Heraclidæ, ab Apolline Apollonii et Apollonidæ, a Posidone, sive Neptuno, Posidonii, a Jove Dii et Diogenæ.

§ 8. Et quid attinet multitudinem hujusmodi appellationum et genealogiarum in reliquum persequi? Omnino igitur illuduntur omnes scriptores poetæ et qui dicuntur philosophi; tum illi etiam, qui hosce audiunt. Fabulas enim potius et deliramenta de diis suis composuerunt; neque enim illos esse deos docent, sed homines, alios quidem ebrios, alios scortatores, homicidas alios. Sed et de mundi ortu pugnantia inter se et absurda tradiderunt. Primo enim quidam ingenitum mundum pronuntiarunt, ut supra demonstravimus. Qui autem ingenitum mundum atque æternam esse naturam dicunt, ii parum congruunt cum illis qui mundum genitum esse statuunt. Hæc enim ex conjectura atque humana cogitatione, non secundum veri-

---

[1] *ἀΐδίαν.*] Vide supra ad § 4.

αὖ εἶπον πρόνοιαν εἶναι, καὶ τὰ τούτων δόγματα ἀνέλυσαν. Ἄρατος μὲν οὖν φησιν·

Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν
Ἄῤῥητον· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαὶ,
Πᾶσαι δ' ἀνθρώπων ἀγοραὶ, μεστὴ δὲ θάλασσα,
Καὶ λιμένες, πάντη δὲ Διὸς κεχρήμεθα πάντες.
Τοῦ γὰρ καὶ γένος ἐσμέν. ὁ δ' ἤπιος ἀνθρώποισι
Δέξια σημαίνει· λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει,
Μιμνήσκων βιότοιο· λέγει δ' ὅτε βῶλος ἀρίστη
Βουσί τε καὶ μακέλῃσι· λέγει δ' ὅτε δέξιαι ὧραι
Καὶ φυτὰ γυρῶσαι, καὶ σπέρματα πάντα βαλέσθαι.

τίνι οὖν πιστεύσωμεν; πότερον Ἀράτῳ τῷδε, ἢ Σοφοκλεῖ [1] λέγοντι·

πρόνοια δ' ἐστιν οὐδενὸς σαφὴς,
εἰκῆ κράτιστον ζῆν ὅπως δύναιτό τις.

Ὅμηρος [2] δὲ πάλιν τούτῳ οὐ συνᾴδει· λέγει γάρ·

Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε.

καὶ Σιμωνίδης·

Οὔτις ἄνευ θεῶν ἀρετὰν λάβεν,
Οὐ πόλις, οὐ βροτός· Θεὸς ὁ παμμῆτις.
Ἀπήμαντον δ' οὐδέν ἐστιν ἐν αὐτοῖς.

ὁμοίως καὶ Εὐριπίδης [3]·

οὐκ ἔστιν οὐδὲν χωρὶς ἀνθρώποις Θεοῦ.

καὶ Μένανδρος·

οὐκ ἄρα φροντίζει τις ἡμῶν, ἢ μόνος Θεός.

---

1 Σοφοκλεῖ.] Œd. Tyr. 978.
2 Ὅμηρος.] Il. Υ. 242.

tatem locuti sunt. Rursus alii providentiam esse dixerunt, atque istorum decreta dissolverunt. Aratus quidem ait;

Ex Jove incipiamus: neque eum unquam sinamus, viri,
Indictum; plenæ sunt Jove omnes plateæ,
Atque omnia hominum fora; plenum est et mare
Et portus. Ubique Jove utimur omnes,
Hujus enim et genus sumus; ipse benignus hominibus
Dextera nunciat, populos ad opera excitat,
Memores vitæ faciens; indicat quando gleba optima
Bobus et ligonibus; indicat quando horæ dexteræ sunt
Ut stirpes humo inserantur, et semina omnia jaciantur.

Cui igitur fidem dabimus? huicce Arato, an Sophocli dicenti;

Haud ulla rerum certa providentia,
Sed fortuito vivere optimum, ut queas.

Rursus Homerus isti non consentit; ait enim;

Ab Jove virtutes crescunt marcentque virorum.

et Simonides;

Nemo sine diis accipit virtutem
Non civitas, non homo: Deus est auctor omnibus.
Sed in hominibus nihil est sine damno.

Similiter et Euripides;

Hominibus nil accidit invito Deo.

Et Menander;

Nulli nos curæ sumus, nisi uni Deo.

---

3 Εὐριπίδης.] Fragmenta Euripidis quæ in hac sectione laudat Theophilus non alias extant.

καὶ πάλιν Εὐριπίδης·

σῶσαι γὰρ ὁπόταν τῷ Θεῷ δοκῇ,
πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν.

καὶ Θέστιος[1]·

Θεοῦ θέλοντος, κἂν ἐπὶ ῥιπὸς πλέῃς,
σώζῃ.

καὶ τὰ τοιαῦτα μυρία εἰπόντες, ἀσύμφωνα ἑαυτοῖς ἐξεῖπον. ὁ γοῦν Σοφοκλῆς ἀπρονοησίαν λέγων[2] ἐν ἑτέρῳ λέγει·

Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.

πλὴν καὶ πληθὺν εἰσήγαγον, ἢ μοναρχίαν εἶπον· καὶ πρόνοιαν εἶναι, τοῖς λέγουσιν ἀπρονοησίαν τἀνάντια εἰρήκασιν. ὅθεν Εὐριπίδης ὁμολογεῖ λέγων·

σπουδάζομεν δὲ πολλ' ὑπ' ἐλπίδων μάτην
πόνους ἔχοντες, οὐδὲν εἰδότες.

καὶ μὴ θέλοντες ὁμολογοῦσι τὸ ἀληθὲς μὴ ἐπίστασθαι· ὑπὸ δαιμόνων δὲ ἐμπνευσθέντες, καὶ ὑπ' αὐτῶν φυσιωθέντες, ἃ εἶπον, δι' αὐτῶν εἶπον. ἤτοι γὰρ οἱ ποιηταὶ, Ὅμηρος δὴ καὶ Ἡσίοδος, ὥς φασιν, ὑπὸ μουσῶν ἐμπνευσθέντες, φαντασίᾳ καὶ πλάνῃ ἐλάλησαν, καὶ οὐ καθαρῷ πνεύματι, ἀλλὰ πλάνῳ. ἐκ τούτου δὲ σαφῶς δείκνυται, εἰ καὶ οἱ δαιμονῶντες ἐνίοτε καὶ μέχρι τοῦ δεῦρο[3] ἐξορκίζονται κατὰ τοῦ ὀνόματος τοῦ ὄντως Θεοῦ, καὶ ὁμολογεῖ

---

[1] Θέστιος.] Scriptor omnino ignotus. Versum *θεοῦ θέλοντος* etc. Plutarchus (de Pyth. Orac. p. 405 B.) dubitanter Pindaro tribuit, *εἴγε Πίνδαρος ἦν ὁ ποιήσας.* Aristophanes autem in Simonidem ludit verbis illis *κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι.* (Pax, 698.) In proverbium cessit *τὸ ἐπὶ ῥιπὸς πλεῖν.* (Gataker. ap. Wolf.)

[2] λέγων.] Hanc vocem inserui ex conjectura Wolfii. Respicit

Euripides iterum;

Quem servare vult Deus,
Momenta donat ad salutem plurima.

Et Thestius;

Tranabis æquor tegete, si id visum Deo,
Salvus.

Et cum plurima ejusmodi dicerent, secum ipsi pugnantia dixerunt. Sophocles certe, qui providentiam tollit, alibi ait;

Evadere ictum numinis nulli licet.

Quinetiam multitudinem Deorum induxerunt, aut imperium unius; et providentiam esse, contra illos qui tollunt providentiam asserunt. Unde Euripides fatetur;

Torquemur omnes dum spe inani ducimur.

Inviti fatentur verum se nescire; quæ vero dixerunt, a dæmonibus inspirati et inflati protulerunt. Poetæ igitur, Homerus et Hesiodus, a musis ut ipsi dicunt afflati, e vana mentis imagine atque errore locuti sunt, a spiritu falso non puro commoti. Id quod vel hinc constat, quod nostra ætate interdum obsessi dæmonibus homines sanantur, nomine veri Dei adjurato; malique illi spiritus fatentur

---

enim noster locum Sophoclis contra providentiam paulo ante allatum.

[3] *μέχρι τοῦ δεῦρο.*] Cf. Tertull. Apol. XXIII. Origen contr. Cels. I. 6. Hoc Christianorum in dæmones imperium non inficiabantur Gentiles, sed aut a suis similia fieri dixerunt, aut collusionem aliquam Christianis cum dæmonibus interesse. (Wolf.)

αὐτὰ τὰ πλάνα πνεύματα εἶναι δαίμονες, οἱ καὶ τότε εἰς ἐκείνους ἐνεργήσαντες· πλὴν ἐνίοτέ τινες τῇ ψυχῇ ἐκνήψαντες ἐξ αὐτῶν, εἶπον ἀκόλουθα τοῖς προφήταις, ὅπως εἴη[1] εἰς μαρτύριον αὐτοῖς τε καὶ πᾶσιν ἀνθρώποις, περί τε Θεοῦ μοναρχίας καὶ κρίσεως, καὶ τῶν λοιπῶν ὧν ἔφασαν.

§ 9. Οἱ δὲ τοῦ Θεοῦ ἄνθρωποι πνευματοφόροι πνεύματος ἁγίου, καὶ προφῆται γενόμενοι, ὑπ' αὐτοῦ τοῦ Θεοῦ ἐμπνευσθέντες καὶ σοφισθέντες, ἐγένοντο θεοδίδακτοι καὶ ὅσιοι καὶ δίκαιοι. διὸ καὶ κατηξιώθησαν τὴν ἀντιμισθίαν ταύτην λαβεῖν, ὄργανα Θεοῦ γενόμενοι, καὶ χωρήσαντες σοφίαν τὴν παρ' αὐτοῦ, δι' ἧς σοφίας εἶπον καὶ περὶ τῆς κτίσεως τοῦ κόσμου καὶ τῶν λοιπῶν ἁπάντων. καὶ γὰρ περὶ λοιμῶν καὶ λιμῶν καὶ πολέμων προεῖπον. καὶ οὐχ εἷς, ἢ δύο, ἀλλὰ πλείονες κατὰ χρόνους καὶ καιροὺς ἐγενήθησαν παρὰ Ἑβραίοις, ἀλλὰ καὶ παρὰ Ἕλλησι Σίβυλλα· καὶ πάντες φίλα ἀλλήλοις καὶ σύμφωνα εἰρήκασι, τά τε πρὸ αὐτῶν γεγενημένα, καὶ τὰ κατ' αὐτοὺς γεγονότα, καὶ τὰ καθ' ἡμᾶς νυνὶ τελειούμενα· διὸ καὶ πεπείσμεθα καὶ περὶ τῶν μελλόντων οὕτως ἔσεσθαι, καθὼς καὶ τὰ πρῶτα ἀπήρτισται.

§ 10. Καὶ πρῶτον μὲν συμφώνως ἐδίδαξαν ἡμᾶς, ὅτι ἐξ οὐκ ὄντων τὰ πάντα ἐποίησεν. οὐ γάρ τι τῷ Θεῷ συνήκμασεν· ἀλλ' αὐτὸς ἑαυτοῦ τόπος ὢν, καὶ ἀνενδεὴς ὢν, καὶ ὑπάρχων[2] πρὸ τῶν αἰώνων, ἠθέλησεν ἄνθρωπον ποιῆσαι ᾧ γνωσθῇ· τούτῳ οὖν προητοίμασε τὸν κόσμον. ὁ γὰρ γενητὸς καὶ προσδεής ἐστιν, ὁ δὲ ἀγένητος, οὐδε-

[1] ὅπως εἴη.] εἴη de meo inserui.

se esse dæmones, qui in istis (poetis) olim operati sunt. Sed nonnulli interdum eorum (poetarum) animis expergefacti protulere quædam consentanea prophetis, ut tum ipsis tum omnibus hominibus testimonio essent, de Dei unius imperio et judicio et cæteris rebus quas pertractarunt.

§ 9. At Dei homines, sancto spiritu instincti, et prophetæ facti, a Deo ipso afflati et eruditi, divinitus docti et sancti et justi extiterunt. Propterea et digni hac mercede habiti sunt, ut Dei instrumenta fierent, et sapientiam quæ ab eo est caperent, per quam locuti sunt de creatione mundi et cæteris rebus omnibus. Pestes enim et fames et bella prædixerunt. Nec unus aut alter, sed plures variis temporibus fuere apud Hebræos, sed et apud Græcos Sibylla: atque omnes amica inter se et consona dixere, tum quæ ante ipsos gesta fuerant, tum quæ ipsis erant æqualia, tum quæ apud nos hodie perficiuntur; unde etiam de futuris certo scimus, ea ita esse eventura, quemadmodum et priora ad exitum perducta sunt.

§ 10. Ac primo quidem summo consensu docuere Deum ex nihilo omnia creasse. Nihil enim Deo coævum, sed cum sibi ipse locus sit, nec ulla re egeat, ac sæculis antiquior sit, hominem facere voluit, cui innotesceret. Huic homini mundum præparavit. Nam qui creatus est multis

---

[2] ὑπάρχων.] Ita Wolfius pro ὑπερέχων, ex MS. Bodl.

νὸς προσδεῖται. ἔχων οὖν ὁ Θεὸς τὸν ἑαυτοῦ λόγον ἐνδιάθετον[1] ἐν τοῖς ἰδίοις σπλάγχνοις, ἐγέννησεν αὐτὸν μετὰ τῆς ἑαυτοῦ σοφίας ἐξερευξάμενος πρὸ τῶν ὅλων. τοῦτον τὸν λόγον ἔσχεν ὑπουργὸν τῶν ὑπ' αὐτοῦ γεγενημένων, καὶ δι' αὐτοῦ τὰ πάντα πεποίηκεν. οὗτος λέγεται ἀρχὴ[2], ὅτι ἄρχει καὶ κυριεύει πάντων τῶν δι' αὐτοῦ δεδημιουργημένων. οὗτος οὖν ὢν πνεῦμα Θεοῦ, καὶ ἀρχὴ καὶ σοφία[3] καὶ δύναμις ὑψίστου[4], κατήρχετο εἰς τοὺς προφήτας, καὶ δι' αὐτῶν ἐλάλει τὰ περὶ τῆς ποιήσεως τοῦ κόσμου καὶ τῶν λοιπῶν ἁπάντων. Οὐ γὰρ ἦσαν οἱ προφῆται ὅτε ὁ κόσμος ἐγίνετο· ἀλλὰ ἡ σοφία ἡ ἐν αὐτῷ οὖσα ἡ τοῦ Θεοῦ, καὶ ὁ λόγος ὁ ἅγιος αὐτοῦ ὁ ἀεὶ συμπαρὼν αὐτῷ. διὸ δὴ καὶ διὰ Σολομῶνος[5] προφήτου οὕτω λέγει· ἡνίκα δὴ ἡτοίμασε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ, καὶ ὡς ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα. Μωσῆς δὲ ὁ καὶ Σολομῶνος πρὸ πολλῶν ἐτῶν γενόμενος, μᾶλλον δὲ ὁ λόγος ὁ τοῦ Θεοῦ ὡς δι' ὀργάνου δι' αὐτοῦ φησίν· ἐν ἀρχῇ[6] ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. πρῶτον ἀρχὴν καὶ ποίησιν ὠνόμασεν· εἶθ' οὕτως τὸν Θεὸν συνέστησεν. οὐ γὰρ ἀργῶς χρὴ καὶ ἐπὶ κενῷ Θεὸν ὀνομάζειν. προῄδει γὰρ ἡ θεία σοφία μέλλειν φλυαρεῖν τινὰς, καὶ πληθὺν Θεῶν ὀνομάζειν τῶν οὐκ ὄν-

---

1 *ἐνδιάθετον.*] In his parum accurate locutus est Theophilus, utpote rem tangens nondum in dubium vocatam, nec definitione Ecclesiæ comprehensam. Et cum Gentilem hominem alloqueretur, mori Platonico (sive Neo-Platonico) loquendi paulo liberius se accommodabat. Nec tamen in his Arianorum hæresi favet, ut visum est Petavio, contra quem bene disputavit Episcop. Bull. in Defens. Fid. Nic. p. 358—367. Verbum enim ait Theophilus ab æterno cum Patre fuisse, et generatum esse ante omnia, et per illum facta esse omnia. Distinxit etiam trinitatem personarum, licet singulis nomina et officia propria assignare non in se susciperet. Vide infra § 22.

rebus eget, increatus autem prorsus nulla. Habens igitur Deus suum ipsius Verbum in propriis visceribus insitum, genuit illud cum sua Sapientia proferens ante omnia. Hoc Verbo usus est administro operum suorum, et per ipsum omnia condidit. Vocatur principium quia principatum habet et dominatum eorum omnium, quæ per ipsum creata sunt. Hic igitur cum sit Spiritus Dei et principium et sapientia et virtus altissimi, descendebat in prophetas, ac per eos de mundi creatione et cæteris rebus loquebatur; nondum erant prophetæ cum mundus crearetur, sed tantum Sapientia Dei quæ est in eo, ac sanctum Verbum ejus, quod ei semper adest. Huic per Salomonem prophetam sic fatur; *Cum præpararet cœlum, una aderam ei, et cum firma faceret fundamenta terræ, eram cum eo disponens.* Moses autem qui multis annis ante Salomonem fuit, vel potius Verbum Dei ita per eum velut per instrumentum loquitur; *In principio creavit Deus cœlum et terram.* Primo principium et creationem nominavit, deinde ipsum Deum prædicavit; neque enim fas est temere et levi de causa Deum

---

[2] *λέγεται ἀρχή.*] Apocal. i. 8. *ἐγώ εἰμι ἀρχὴ καὶ τέλος.*

[3] *σοφία.*] Vocatur Filius ab Athenagora (Legat. 24.) *νοῦς λόγος σοφία τοῦ πατρός.* Vide infra § 13.

[4] *δύναμις ὑψίστου.*] Vox *ὕψιστος* de Deo absolute sumitur sæpius ap. LXX. In novo Testamento eundem sensum habet apud S. Lucæ scripta. e. g. Luc. i. 35. *δύναμις ὑψίστου ἐπισκιάσει σοι.* Cf. i. 32, 76. vi. 35. Act. Apost. vii. 48.

[5] *διὰ Σολομῶνος.*] Prov. viii. 27, 29. *ἐγὼ*, sc. *ἡ σοφία.*

[6] *ἐν ἀρχῇ.*] Theophilus, ut multi alii, illud *in principio* idem significare putant atque *in Verbo;* profert enim hoc testimonium ut probet *Verbi* æternitatem. (Bened.)

των. ὅπως ουν ὁ τῷ ὄντι Θεὸς διὰ ἔργων νοηθῇ, καὶ ὅτι ἐν τῷ λόγῳ αὐτοῦ ὁ Θεὸς πεποίηκε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς, ἔφη· ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, εἶτα εἰπὼν τὴν ποίησιν αὐτῶν, δηλοῖ ἡμῖν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. ταῦτα ἐν πρώτοις διδάσκει ἡ θεία γραφὴ, τρόπῳ τινι ὕλην γενητὴν[1], ὑπὸ τοῦ Θεοῦ γεγονυῖαν, ἀφ' ἧς πεποίηκε καὶ δεδημιούργηκεν ὁ Θεὸς τὸν κόσμον.

§ 11. Ἀρχὴ δὲ τῆς ποιήσεως φῶς ἐστιν· ἐπειδὴ τὰ κοσμούμενα τὸ φῶς φανεροῖ. διὸ λέγει· καὶ εἶπεν ὁ Θεὸς, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς. καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλόν· δηλονότι καλὸν ἀνθρώπῳ γεγονός. καὶ διεχώρισεν ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους. καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα· καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωῒ, ἡμέρα μία. καὶ εἶπεν ὁ Θεὸς, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχώριζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα. καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος, τοῦ ἐπάνω τοῦ στερεώματος. καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ,

---

[1] *τρόπῳ τινι τὴν ὕλην γενητήν.*] Desideramus participium *δηλοῦσα* aut tale aliquid. Materiæ autem creatio in initio Genesis *τρόπῳ τινι* docetur, quamvis non diserte exprimitur. (Ita Hesiodus dicitur *ὕλην τρόπῳ τινι ὑποτίθεσθαι*, materiam *quodammodo* ponere per se extantem, § 6. quia hæc sententia ejus verbis inest, quamvis non

appellare. Providebat enim divina sapientia futurum, ut nonnulli nugarentur, et multitudinem deorum nusquam extantium nominarent. Itaque ut verus Deus ex operibus intelligeretur, eumque constaret in Verbo suo cœlum et terram et quæ sunt in eis creasse, scriptum est, *In principio creavit Deus cœlum et terram.* Deinde postquam narravit eorum creationem, sic nos edocet; *Terra autem erat invisibilis et incomposita, et tenebræ super abyssum, et Spiritus Dei superferebatur super aquas.* Hæc igitur in initio docet divina Scriptura, materiam, ex qua mundum fecit Deus et condidit, quodammodo indicans rem creatam esse.

§ 11. Initium autem condendi a luce fuit; lux enim quæ conduntur ostendit. Quare dicit; *Et dixit Deus, Fiat lux; et facta est lux; et vidit lucem Deus quia bona est;* bona scilicet homini facta. *Et distinxit Deus inter lucem et tenebras. Vocavitque Deus lucem, diem, et tenebras vocavit noctem: et fuit vespera, fuitque mane dies unus. Et dixit Deus, Fiat firmamentum in medio aquarum, et dividat aquas ab aquis. Et fecit Deus firmamentum, distinxitque inter aquas quæ erant sub firmamento, et inter aquas quæ erant supra firmamentum, factumque est ita. Et vocavit Deus firmamentum, cœlum; et fuit vespera, fuitque mane dies secundus. Et dixit Deus,*

---

enunciatur.) Creatam autem esse materiam exinde intelligebat Theophilus, quia cœli et terræ nomine materiam comprehendebat, ex qua cœlum et terra facta sunt. Sequitur hanc interpretationem Basil. Homil. I. in Hexæm. § 8. (Bened.)

ἡμέρα δευτέρα. καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. καὶ ἐγένετο οὕτως. καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν, καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας· καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. καὶ εἶπεν ὁ Θεὸς, βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτως. καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη. καὶ εἶπεν ὁ Θεός· γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, εἰς φαῦσιν ἐπὶ τῆς γῆς, ὥστε διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας, καὶ ἀνὰ μέσον τῆς νυκτός· καὶ ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς· καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτὸς, καὶ τοὺς ἀστέρας. καὶ ἔθετο αὐτοὺς ὁ Θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς, καὶ διαχωρίζειν ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τετάρτη. καὶ εἶπεν ὁ Θεός· ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ

Congregentur aquæ sub cœlis in locum unum, ut videri possit arida: factumque est ita. Et congregatæ sunt aquæ sub cœlis in loca sua, et visa est arida. Et vocavit Deus aridam terram, et collectionem aquarum vocavit maria, et vidit Deus quod esset bonum. Et dixit Deus, Germinet terra herbam virentem, seminantem semen secundum genus et secundum similitudinem, et lignum frugiferum faciens fructum juxta speciem suam, cujus semen in semetipso sit super terram: et factum est ita. Et prodire fecit terra herbam virentem, seminantem semen juxta speciem suam et arborem facientem fructum, cujus semen fuit in semetipsa juxta speciem suam in terra, et vidit Deus quod esset bonum: factaque est vespera, et factum est mane dies tertius. Dixit vero Deus; Fiant luminaria in firmamento cœli ad illuminationem super terram, et distinctionem faciant inter diem et inter noctem; et sint in signa et in certa tempora et in dies atque in annos; et sint ad illuminationem in firmamento cœli, ut lumen præbeant super terram; et factum est ita. Fecit autem Deus duo luminaria magna, luminare majus in dominium diei: et luminare minus in dominium noctis, et stellas. Posuitque ea Deus in firmamento cœli, ut lucem præberent super terram; et ut dominarentur in diem atque noctem, et distinctionem facerent inter lucem atque inter tenebras; et vidit Deus quod esset bonum: et fuit vespera, fuitque mane dies quartus. Et dixit Deus; Educant aquæ reptilia animæ viventis, et aves quæ voli-

πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς, κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά. καὶ εὐλόγησεν αὐτὰ ὁ Θεὸς λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὰ ὕδατα τῆς θαλάσσης· καὶ τὰ πετεινὰ πληθυνέτω ἐπὶ τῆς γῆς. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα πέμπτη. καὶ εἶπεν ὁ Θεὸς, ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος. καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ Θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος, καὶ τὰ κτήνη κατὰ γένος αὐτῶν, καὶ πάντα τὰ ἑρπετὰ κατὰ γένος. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά. καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεὸς, λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς. καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. καὶ εἶπεν ὁ Θεός· ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς, καὶ πᾶν ξύλον ὃ ἔχει ἐν αὐτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν. καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ

tent super terram in facie firmamenti cœli; et factum est ita. Et creavit Deus cetos magnos, et omnem animam reptilium animalium, quam eduxerunt aquæ juxta speciem suam, et omnem avem pennatam, juxta speciem suam; et vidit Deus quia bona sunt, et benedixit illis, dicens; Crescite et multiplicamini, et implete aquas in mari, et aves multiplicentur in terra. Et fuit vespera, fuitque mane dies quintus. Et dixit Deus: Producat terra animam viventem secundum speciem suam, quadrupedia, reptilia et bestias terræ secundum speciem suam, et vidit Deus quod esset bonum. Dixitque Deus; Faciamus hominem in imagine nostra, secundum similitudinem nostram, et dominetur in piscem maris, et in volucrem cœli, et in jumentum, et in omnem terram, et in omne reptile quod reptat super terram. Creavit itaque Deus hominem in imagine sua, in imagine Dei creavit eum, masculum et fœminam creavit eos. Et benedixit illis Deus, dixitque ad eos; Crescite et multiplicamini, implete terram, atque subjicite eam; et dominamini in piscem maris, et in volucrem cœli, et in omne jumentum, et in universam terram, et in omne reptile quod reptat super terram. Et dixit Deus; Ecce dedi vobis omnem herbam seminalem seminantem semen, quæ est in superficie universæ terræ, et omnem arborem, in qua est fructus arboris, et quæ semen seminet, ut sint vobis in escam. Sed et omni bestiæ terræ, et cuncto volatili cœli, atque omni reptili quod reptat super terram, in quo est anima vivens, dedi uni-

ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν αὐτῷ πνοὴν ζωῆς, πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. καὶ ἐγένετο οὕτως. καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἴδου καλὰ λίαν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη. καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ πᾶς ὁ κόσμος αὐτῶν. καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε· καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτὴν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι.

§ 12. Τῆς μὲν οὖν Ἑξαημέρου οὐδεὶς ἀνθρώπων δυνατὸς κατ' ἀξίαν τὴν ἐξήγησιν καὶ τὴν οἰκονομίαν πᾶσαν ἐξειπεῖν, οὐδὲ εἰ μυρία στόματα ἔχοι, καὶ μυρίας γλώσσας· ἀλλ' οὐδὲ εἰ μυρίοις ἔτεσι βιώσει τις, ἐπιδημῶν ἐν τῷδε τῷ βίῳ, οὐδὲ οὕτως ἔσται ἱκανὸς πρὸς ταῦτα ἀξίως τι εἰπεῖν, διὰ τὸ ὑπέρβαλλον μέγεθος καὶ τὸν πλοῦτον τῆς σοφίας τοῦ Θεοῦ, τῆς οὔσης ἐν ταύτῃ τῇ προγεγραμμένῃ Ἑξαημέρῳ. πολλοὶ μὲν οὖν τῶν συγγραφέων ἐμιμήσαντο, καὶ ἠθέλησαν περὶ τούτων διήγησιν ποιήσασθαι, καίτοι λαβόντες ἐντεῦθεν τὰς ἀφορμὰς, ἤτοι περὶ κόσμου κτίσεως, ἢ περὶ φύσεως ἀνθρώπου· καὶ οὐδὲ τὸ τυχὸν ἔναυσμα ἄξιόν τι τῆς ἀληθείας ἐξεῖπον. δοκεῖ δὲ τὰ ὑπὸ τῶν φιλοσόφων ἢ συγγραφέων καὶ ποιητῶν εἰρημένα ἀξιόπιστα μὲν εἶναι, παρὰ τὸ φράσει κεκαλλωπίσθαι. μωρὸς δὲ καὶ κένος ὁ λόγος αὐτῶν δείκνυται, ὅτι πολλὴ μὲν πληθὺς τῆς φλυαρίας αὐτῶν ἐστι· τὸ τυχὸν δὲ τῆς ἀληθείας ἐν αὐτοῖς οὐχ εὑρίσκεται. καὶ γὰρ εἴ τι δοκεῖ ἀληθὲς δι' αὐτῶν ἐκπεφωνῆσθαι, σύγκρασιν ἔχει τῇ πλάνῃ.

versum virorem herbæ in cibum: et factum est ita. Et vidit Deus omne quod fecerat, et ecce erat valde bonum, et facta est vespera, et factum est mane dies sextus. Et perfecti sunt cœli et terra, et omnis ornatus illorum. Consummavitque Deus in die septimo opus suum quod fecerat, et quievit in die septimo ab omni opere suo quod fecerat. Et benedixit Deus diei septimo, et sanctificavit eum, eo quod in eo quievisset ab omni opere suo, quod Deus facere incepit.

§ 12. Hujus autem sex dierum operis nemo potest vel enarrationem vel œconomiam omnem digne explicare, nec si quis haberet mille ora totidemque linguas: nec si totidem annos in hac vita peregrinans degerit, ne tum quidem idoneus erit, qui de his digne quidpiam dicat, propter exsuperantem magnitudinem et divitias sapientiæ Dei, quæ operi sex dierum supra descripto inest. Ac multi quidem scriptores illud imitati sunt, et de his rebus sermonem facere instituerunt, et cum inde opem sumerent ad mundi creationem et naturam hominis explicandam, tamen ne tenuem quidem veritatis scintillam ediderunt. Videntur autem quæ a philosophis et scriptoribus et poetis dicta sunt, fide digna esse, quia sermonis splendore illustrantur: inanis tamen et insulsa eorum oratio ex eo declaratur, quia nugarum apud illos magna est copia, ac veritatis ne minima quidem particula invenitur. Nam si quid veri ab iis prædicatum videtur, permixtum est errore. Ac quemadmodum phar-

καθάπερ γὰρ φάρμακόν τι δηλητήριον συγκραθὲν μέλιτι, ἢ οἴνῳ, ἢ ἑτέρῳ τινὶ, τὸ πᾶν ποιεῖ βλαβερὸν καὶ ἄχρηστον· οὕτως καὶ ἡ ἐν αὐτοῖς πολυλογία εὑρίσκεται ματαιοπονία, καὶ βλάβη μᾶλλον τοῖς πειθομένοις αὐτῇ. ἔτι μὴν καὶ περὶ τῆς ἑβδόμης ἡμέρας ἣν πάντες μὲν ἄνθρωποι ὀνομάζουσιν[1], οἱ δὲ πλείους ἀγνοοῦσιν, ὅτι παρ' Ἑβραίοις ὃ καλεῖται σάββατον Ἑλληνιστὶ ἑρμηνεύεται ἑβδομάς· ἥτις εἰς πᾶν γένος ἀνθρώπων ὀνομάζεται μὲν, δι' ἣν δὲ αἰτίαν[2] καλοῦσιν αὐτὴν οὐκ ἐπίστανται. τὸ δὲ εἰπεῖν Ἡσίοδον τὸν ποιητὴν ἐκ χάους γεγενῆσθαι Ἔρεβον, καὶ τὴν γῆν καὶ ἔρωτα κυριεύοντα τῶν κατ' αὐτόν τε Θεῶν καὶ ἀνθρώπων, μάταιον καὶ ψυχρὸν τὸ ῥῆμα αὐτοῦ, καὶ ἀλλότριον πάσης ἀληθείας δείκνυται. Θεὸν γὰρ οὐ χρὴ ὑφ' ἡδονῆς νικᾶσθαι· ὅπου γε καὶ οἱ σώφρονες ἄνθρωποι ἀπέχονται πάσης αἰσχρᾶς ἡδονῆς, καὶ ἐπιθυμίας κακῆς.

§ 13. Ἀλλὰ καὶ τὸ ἐκ τῶν ἐπιγείων κάτωθεν ἄρξασθαι καὶ λέγειν τὴν ποίησιν τῶν γεγενημένων, ἀνθρώπινον καὶ ταπεινὸν καὶ πάνυ ἀσθενὲς τὸ ἐννόημα αὐτοῦ, ὡς πρὸς Θεόν ἐστιν. ἄνθρωπος γὰρ κάτω ὢν, ἄρχεται ἐκ τῆς γῆς οἰκοδομεῖν, καὶ οὐ πρὸς τάξιν δύναται καὶ τὴν ὀροφὴν ποιῆσαι, ἐὰν μὴ τὸν θεμέλιον ὑπόθηται. Θεοῦ δὲ τὸ δυνατὸν ἐκ τούτου δείκνυται, ἵνα πρῶτον μὲν ἐξ οὐκ ὄντων ποιῇ τὰ γινόμενα, εἶτα[3] καθὼς βούλεται. τὰ γὰρ[4] παρὰ ἀνθρώποις ἀδύνατα, δυνατά ἐστι παρὰ Θεῷ· διὸ καὶ ὁ προφήτης πρῶτον εἴρηκε τὴν ποίησιν τοῦ οὐρανοῦ γεγενῆσθαι, τρόπον ἐπέχοντα ὀροφῆς, λέγων·

---

[1] ἣν πάντες μὲν ὀνομάζουσι.] Scilicet appellabant eum *Saturni diem*. De nominibus autem dierum, vide Dion. Cass. XXXVII. 18. Selden. de jure Nat. III. 13, etc. et egregiam disputationem ap. Mus. Philolog. Cantab. I. 1.

macum aliquod mortiferum, si melle aut vino aut alia re permiscetur, totum inutile et pestiferum efficit, ita eorum dicendi copia nihil aliud esse invenitur, quam nugæ laboriosæ, atque obest potius quam prodest iis qui ei assentiuntur. Ac de die septimo locuti sunt, cujus nomen omnes homines usurpant, sed quam vim habeat plerique ignorant; scilicet quod apud Hebræos sabbatum vocatur, Græce redditur hebdomas; quod nomen apud omne genus hominum usurpatur, at nominis causam ignorant plerique. Quod autem Hesiodus poeta dixit ex Chao natum esse Erebum et terram et imperantem Diis, quotquot ille affert, et hominibus Amorem; futilis illius et frigida oratio est, et ab omni veritate aliena. Deum enim vinci voluptate non decet; siquidem homines sobrii ab omni voluptate inhonesta et mala cupiditate abstinent.

§ 13. Quod autem Hesiodus e terrestribus et infimis rebus initium ducit narrandæ creationis, humana et humilis et prorsus jejuna ejus cogitatio est, quantum ad Deum attinet. Homo enim cum in ima mundi regione versetur, ab ipso solo initium facit ædificandi, nec nisi fundamento jacto ordinem servare aut fastigium facere potest. Dei autem potentia in eo spectatur, quod primum quidem res ex nihilo creat, deinde ad arbitrium suum creat. Nam quæ apud

---

2 *δι' ἣν δὲ αἰτίαν.*] Quam ob causam nomen et honorem habeat ignorant; scil. quia conquievit illo die Deus ab operibus suis.

3 *εἶτα.*] Hanc vocem addidi, ex monitu Editoris Bened.

4 *τὰ γὰρ κ.τ.λ.*] Luc. xviii. 27.

ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν, τουτέστι διὰ τῆς ἀρχῆς[1] γεγενῆσθαι τὸν οὐρανὸν καθὼς ἔφθημεν δεδηλωκέναι. γῆν δὲ λέγει δυνάμει ἔδαφος καὶ θεμέλιον, ἄβυσσον δὲ τὴν πληθὺν τῶν ὑδάτων· καὶ σκότος διὰ τὸ τὸν οὐρανὸν[2], γεγονότα ὑπὸ τοῦ Θεοῦ, ἐσκεπακέναι καθαπερεὶ πῶμα τὰ ὕδατα σὺν τῇ γῇ. πνεῦμα[3] δὲ τὸ ἐπιφερόμενον ἐπάνω τοῦ ὕδατος, ὃ ἔδωκεν ὁ Θεὸς εἰς ζωογόνησιν[4] τῇ κτίσει καθάπερ ἀνθρώπῳ ψυχὴν, τῷ λεπτῷ τὸ λεπτὸν συγκεράσας· τὸ γὰρ πνεῦμα λεπτὸν καὶ τὸ ὕδωρ λεπτόν· ὅπως τὸ μὲν πνεῦμα τρέφῃ τὸ ὕδωρ, τὸ δὲ ὕδωρ σὺν τῷ πνεύματι τρέφῃ τὴν κτίσιν διϊκνούμενον πανταχόσε. ἓν μὲν τὸ πνεῦμα, φωτὸς τύπον[5] ἔπεχον, ἐμεσίτευε τοῦ ὕδατος καὶ τοῦ οὐρανοῦ, ἵνα τρόπῳ τινι μὴ κοινωνῇ τὸ σκότος τῷ οὐρανῷ ἐγγυτέρῳ ὄντι τοῦ Θεοῦ, πρὸ τοῦ εἰπεῖν τὸν Θεόν· γενηθήτω φῶς. ὥσπερ οὖν καμάρα ὁ οὐρανὸς ὢν συνεῖχε τὴν ὕλην βώλῳ ἐοικυῖαν. καὶ γὰρ εἴρηκε περὶ τοῦ οὐρανοῦ ἕτερος προφήτης ὀνόματι Ἡσαΐας[6] λέγων· Θεὸς οὗτος ὁ ποιήσας τὸν οὐρανὸν ὡς καμάραν, καὶ διατείνας ὡς σκηνὴν κατοικεῖσθαι. ἡ διάταξις οὖν τοῦ Θεοῦ, τοῦτό ἐστιν ὁ λόγος αὐτοῦ, φαίνων ὥσπερ λύχνος[7] ἐν οἰκήματι συνεχομένῳ, ἐφώτισε τὴν ὑπ' οὐρανὸν, χωρὶς μὲν[8] τοῦ κόσμου ποιήσας. καὶ τὸ

---

1 *διὰ τῆς ἀρχῆς.*] i. e. *διὰ τοῦ λόγου.* Vide ad § 10.

2 *διὰ τὸ τὸν οὐρανὸν κ.τ.λ.*] i. e. cœlum, quasi quoddam operculum, terram et aquas tegebat, atque ita, exclusa luce, tenebras esse faciebat.

3 *πνεῦμα.*] Vid. supr. ad I. 5.

4 *εἰς ζωογόνησιν.*] Ita Chrysost. Homil. in Genes. iii. *τί βούλεται τοῦτο τὸ εἰρημένον; πνεῦμα, φησὶ, Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Ἐμοὶ δοκεῖ τοῦτο σημαίνειν ὅτι ἐνέργειά τις ζωτικὴ προσῆν τοῖς ὕδασι, καὶ οὐκ ἦν ἁπλῶς ὕδωρ ἑστὼς καὶ ἀκίνητον, ἀλλὰ κινούμενον καὶ ζωτικήν τινα δύναμιν ἔχον· τὸ γὰρ ἀκίνητον πάντῃ ἄχρηστον· τὸ δὲ κινούμενον πρὸς πολλὰ ἐπιτήδειον.*

5 *τύπον.*] Legendum videtur *τόπον.* (Bened.)

homines impossibilia, possibilia sunt apud Deum. Quapropter propheta testatur primum omnium ab eo cœlum esse conditum in modum fastigii: In principio, inquit, creavit Deus cœlum; id est per eum qui est principium, condidit cœlum, ut supra edocuimus. Terram autem id vocat quod veluti solum et fundamentum est; abyssum autem multitudinem aquarum: tenebras etiam nominat, quia cœlum a Deo creatum aquas una cum terra instar operculi obtexit. At spiritum vocat eum, qui ferebatur super aquas, quemque largitus est Deus creaturæ ad viventium generationem, non secus atque animam homini dedit, tenue cum tenui conjungens (nam spiritus tenuis et aqua tenuis) ut spiritus aquam, aqua autem cum spiritu pervadens creaturam foveret. Unus igitur ille spiritus, qui lucis similitudinem habebat, aquam inter et cœlum medius erat positus, ne tenebræ proximum Deo cœlum attingerent, antequam Deus dixisset, Fiat lux. Cœlum igitur instar fornicis materiam, quæ illo tempore glebæ similis erat, complectebatur. Etenim alius propheta, nomine Esaias, de cœlo ita loquitur; *Deus ille est qui fecit cœlum ut fornicem, et extendit ut tabernaculum ad inhabitandum.* Itaque mandatum Dei, id est ejus Verbum, quasi lucerna in clauso conclavi collucens, terram quæ sub cœlo est illuminavit,

---

6 Ἠσαΐας.] cap. xl. 22.

7 *ὥσπερ λύχνος.*] 2 Pet. i. 19. *ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ.*

8 *χωρὶς μὲν κ.τ.λ.*] Desiderare videmur ad sensum supplendum voces *τὸ φῶς*; quæ ex verbo *ἐφώτισε* subaudiendæ sunt, nisi forte e textu exciderint.

μὲν φῶς ὁ Θεὸς ἐκάλεσεν ἡμέραν, τὸ δὲ σκότος νύκτα· ἐπειτοί γε ἄνθρωπος οὐκ ἂν ᾔδει καλεῖν τὸ φῶς ἡμέραν, ἢ τὸ σκότος νύκτα· ἀλλ' οὐδὲ μὲν τὰ λοιπὰ εἰ μὴ τὴν ὀνομασίαν εἰλήφει ἀπὸ τοῦ ποιήσαντος αὐτὰ Θεοῦ. τῇ μὲν οὖν πρώτῃ ὑποθέσει τῆς ἱστορίας, καὶ γενέσεως τοῦ κόσμου, εἴρηκεν ἡ ἁγία γραφὴ οὐ περὶ τούτου τοῦ στερεώματος, ἀλλὰ περὶ ἑτέρου οὐρανοῦ[1] τοῦ ἀοράτου ἡμῖν ὄντος, μεθ' ὃν οὗτος ὁ ὁρατὸς οὐρανὸς κέκληται στερέωμα, ἐφ' ᾧ ἀνείληπται τὸ ἥμισυ τοῦ ὕδατος, ὅπως ᾖ τῇ ἀνθρωπότητι εἰς ὑετοὺς καὶ ὄμβρους καὶ δρόσους. τὸ δὲ ἥμισυ ὕδατος ὑπελείφθη ἐν τῇ γῇ εἰς ποταμοὺς καὶ πηγὰς καὶ θαλάσσας· ἔτι οὖν συνέχοντος τοῦ ὕδατος τὴν γῆν, μάλιστα κοίλους τόπους, ἐποίησεν ὁ Θεὸς διὰ τοῦ λόγου αὐτοῦ τὸ ὕδωρ συναχθῆναι εἰς συναγωγὴν μίαν, καὶ ὁρατὴν γενηθῆναι τὴν ξηρὰν, πρότερον γεγονυῖαν αὐτὴν ἀόρατον. ὁρατὴ οὖν ἡ γῆ γενομένη ἔτι ὑπῆρχεν ἀκατασκεύαστος. κατεσκεύασεν οὖν αὐτὴν καὶ κατεκόσμησεν ὁ Θεὸς διὰ παντοδαπῶν χλοῶν καὶ σπερμάτων καὶ φυτῶν.

§ 14. Σκόπει τὸ λοιπὸν τὴν ἐν τούτοις ποικιλίαν καὶ διάφορον καλλονὴν καὶ πληθὺν, καὶ ὅτι δι' αὐτῶν δείκνυται ἡ ἀνάστασις, εἰς δεῖγμα τῆς μελλούσης ἔσεσθαι ἀναστάσεως ἁπάντων ἀνθρώπων. τίς γὰρ κατανοήσας οὐ θαυμάσει ἐκ συκῆς κεγχραμίδος γίνεσθαι συκῆν, ἢ τῶν λοιπῶν σπερμάτων ἐλαχίστων φύειν παμμεγέθη δένδρα; τὸν δὲ κόσμον ἐν ὁμοιώματι ἡμῖν λέγομεν εἶναι

---

[1] *περὶ ἑτέρου οὐρανοῦ.*] Videtur hac in re discedere a Theophili sententia S. Chrysostomus, qui contendit (Homil. in Gen. iv.) unum esse cœlum, neque illud, quod "in principio" factum esse dicitur, ab eo differre, quod aquas dividit ab aquis. Contra Theodoretus

cum lucem separatim a mundo fecisset. Ac lucem quidem Deus diem vocavit, tenebras vero noctem. Neque enim potuisset homo vocare diem lucem, tenebras autem noctem, imo neque aliis rebus nomina imponere, nisi illa ab earum conditore accepisset Deo. In primo autem exordio narrandæ mundi originis, non loquitur Scriptura de hoc firmamento quod videmus, sed de alio cœlo invisibili secundum quod hoc cœlum quod videmus vocatum est firmamentum. In quo recepta est aquæ pars dimidia, ut sit homini in pluvias et imbres et rores. Altera pars in terra relicta est in fluvios fontes et maria. Cum igitur adhuc aquæ tegerent terram, præcipue autem loca concava, fecit Deus per Verbum suum ut aquæ unum in locum confluerent, et appareret terra, quæ antea non videbatur. Quamvis autem videri cœpisset, erat adhuc sine apparatu. Apparatum igitur ei et ornatum affinxit Deus addito omni herbarum et seminum et plantarum genere.

§ 14. Jam vero in his considera quæ sit varietas et venustas diversa et copia; et quomodo exhibeant resurrectionem in exemplum futuræ aliquando omnium hominum resurrectionis. Quis est enim qui non admiretur, cum consideret ex fici semine ficum nasci, vel ex aliis minutissimis seminibus immensas arbores crescere? Mundum autem dici-

---

utrumque distinguit, ut Theophilus; philosophos qui plures esse cœlos negabant, exagitat Basilius Homil. III. in Hexaem. S. Ambrosius in Hexaem. Lib. II. 2. tres cœlos acriter defendit. (Notam Bened. paulum correxi).

τῆς θαλάσσης. ὥσπερ γὰρ θάλασσα εἰ μὴ εἶχε τὴν τῶν ποταμῶν καὶ πηγῶν ἐπίῤῥυσιν καὶ ἐπιχορηγίαν εἰς τροφὴν, διὰ τὴν ἁλμυρότητα αὐτῆς πάλαι ἂν ἐκπεφρυγμένη ἦν· οὕτω καὶ ὁ κόσμος εἰ μὴ ἐσχήκει τὸν τοῦ Θεοῦ νόμον, καὶ τοὺς προφήτας ῥέοντας καὶ πηγάζοντας τὴν γλυκύτητα καὶ εὐσπλαγχνίαν καὶ δικαιοσύνην καὶ διδαχὴν τῶν ἁγίων ἐντολῶν τοῦ Θεοῦ, διὰ τὴν κακίαν καὶ ἁμαρτίαν τὴν πληθύουσαν ἐν αὐτῷ ἤδη ἂν ἐκλελοίπει. καὶ καθάπερ ἐν θαλάσσῃ νῆσοί εἰσιν αἱ μὲν οἰκηταὶ καὶ εὔυδροι καὶ καρποφόροι, ἔχουσαι ὅρμους καὶ λιμένας, πρὸς τὸ τοὺς χειμαζομένους ἔχειν ἐν αὐτοῖς καταφυγάς· οὕτω δέδωκεν ὁ Θεὸς τῷ κόσμῳ κυμαινομένῳ καὶ χειμαζομένῳ ὑπὸ τῶν ἁμαρτημάτων τὰς συναγωγὰς, λέγομεν δὲ ἐκκλησίας ἁγίας, ἐν αἷς καθάπερ λιμέσιν εὐόρμοις ἐν νήσοις αἱ διδασκαλίαι τῆς ἀληθείας εἰσί· πρὸς ἃς καταφεύγουσιν οἱ θέλοντες σώζεσθαι, ἐρασταὶ γινόμενοι τῆς ἀληθείας, καὶ βουλόμενοι ἐκφυγεῖν τὴν ὀργὴν καὶ κρίσιν τοῦ Θεοῦ. καὶ ὥσπερ αὖ νῆσοί εἰσιν ἕτεραι πετρώδεις καὶ ἄνυδροι καὶ ἄκαρποι καὶ θηριώδεις καὶ ἀοίκητοι, ἐπὶ βλάβῃ τῶν πλεόντων καὶ χειμαζομένων, ἐν αἷς τείρεται τὰ πλοῖα, καὶ ἐξαπόλλυνται ἐν αὐταῖς οἱ κατερχόμενοι, οὕτως εἰσὶν αἱ διδασκαλίαι τῆς πλάνης, λέγω δὲ τῶν αἱρέσεων, αἳ ἐξαπολλύουσι τοὺς προσιόντας αὐταῖς. οὐ γὰρ ὁδηγοῦνται ὑπὸ τοῦ λόγου τῆς ἀληθείας, ἀλλὰ καθάπερ πειραῖαι, ἐπὰν πληρώσωσι[1] τὰς ναῦς, ἐπὶ τοὺς προειρημένους τόπους περιπείρουσιν[2] ὅπως ἐξαπολέσωσιν αὐτὰς, οὕτω συμβαίνει καὶ τοῖς πλανωμένοις ἀπὸ τῆς ἀληθείας ἐξαπόλλυσθαι ὑπὸ τῆς πλάνης.

---

[1] *ἐπὰν πληρώσωσι.*] Cum naves suas hominibus nihil mali suspicantibus impleverint. (Bened.)

mus habere maris similitudinem. Sicut enim mare nisi fluminum et fontium appulsum, quasi alimentum quoddam haberet, jamdudum exsiccatum ob salsuginem et adustum foret; ita mundus nisi habuisset legem et prophetas, ex quibus fluunt et scaturiunt mansuetudo misericordia justitia et sanctorum Dei mandatorum doctrina, jamdudum ob nequitiam et multiplicata in eo peccata defecisset. Et quemadmodum in mari sunt quædam insulæ habitabiles, aquis salubres, frugiferæ, stationibus et portubus munitæ, ut iis qui tempestate jactati sunt perfugio esse possint; sic Deus mundo sub peccatis fluctuanti et æstuanti synagogas dedit, id est sanctas Ecclesias, in quibus velut in portubus insularum opportunis doctrina veritatis servatur; ad quas confugiunt, qui salvi esse volunt, amantes veritatis, et cupientes evitare iram et judicium Dei. Et sicut aliæ extant insulæ saxosæ, aquis expertes, steriles, ferarum plenæ, non habitabiles, navigantibus et tempestatem subeuntibus periculosæ; in quibus naves conteruntur, et qui appellunt penitus pereunt; ita se habeat erroris doctrinæ, hæreses dico, ad quas qui accedunt penitus pereunt; non enim verbum veritatis sequuntur ductorem, sed quemadmodum piratæ cum impleverint naves, eas in prædicta loca illidunt, ut eas pessumdent; ita accidit ut qui a veritate aberrarunt errore pessumdentur.

---

[2] περιπείρουσιν.] Ita S. Paulus in re non absimili 1 Tim. vi. 10. καὶ ἑαυτοὺς περιπείρουσιν ὀδύναις πολλαῖς.

§ 15. Τετάρτῃ ἡμέρᾳ ἐγένοντο οἱ φωστῆρες. ἐπειδὴ ὁ Θεὸς, προγνωστὴς ὢν[1], ἠπίστατο τὰς φλυαρίας τῶν ματαίων φιλοσόφων, ὅτι ἔμελλον λέγειν ἀπὸ τῶν στοιχείων[2] εἶναι τὰ ἐπὶ τῆς γῆς φυόμενα, πρὸς τὸ ἀθετεῖν τὸν Θεόν· ἵν' οὖν τὸ ἀληθὲς δειχθῇ, προγενέστερα γέγονε τὰ φυτὰ καὶ τὰ σπέρματα τῶν στοιχείων. τὰ γὰρ μεταγενέστερα οὐ δύναται ποιεῖν τὰ αὐτῶν προγενέστερα. ταῦτα δὲ δεῖγμα καὶ τύπον ἐπέχει μεγάλου μυστηρίου. ὁ γὰρ ἥλιος ἐν τύπῳ Θεοῦ ἐστιν· ἡ δὲ σελήνη ἀνθρώπου. καὶ ὥσπερ ὁ ἥλιος πολὺ διαφέρει τῆς σελήνης δυνάμει καὶ δόξῃ, οὕτω πολὺ διαφέρει ὁ Θεὸς τῆς ἀνθρωπότητος· καὶ καθάπερ ὁ ἥλιος πλήρης πάντοτε διαμένει, μὴ ἐλάσσων γινόμενος, οὕτω πάντοτε ὁ Θεὸς τέλειος διαμένει, πλήρης ὢν πάσης δυνάμεως καὶ συνέσεως καὶ σοφίας καὶ ἀθανασίας καὶ πάντων τῶν ἀγαθῶν. ἡ δὲ σελήνη κατὰ μῆνα φθίνει, καὶ δυνάμει ἀποθνήσκει, ἐν τύπῳ οὖσα ἀνθρώπου, ἔπειτα ἀναγεννᾶται καὶ αὔξει εἰς δεῖγμα τῆς μελλούσης ἔσεσθαι ἀναστάσεως. ὡσαύτως καὶ αἱ τρεῖς ἡμέραι, πρὸ τῶν φωστήρων[3] γεγονυῖαι, τύποι εἰσὶ τῆς τριάδος[4], τοῦ Θεοῦ, καὶ τοῦ λόγου αὐτοῦ, καὶ τῆς σοφίας αὐτοῦ[5]. τετάρτῳ δὲ τύπῳ ἐστὶν ἄνθρωπος ὁ προσδεὴς

---

[1] *προγνωστὴς ὢν κ.τ.λ.*] Occurrit eadem observatio ap. Basil. de Hexaem. Homil. VI. 2. Ambros. de Hexaem. Lib. IV. 1. Chrysost. in Gen. Homil. VI. 4. (Bened.)

[2] *στοιχείων.*] Vide not. ad I. 4.

[3] *πρὸ τῶν φωστήρων.*] Præpositionem, monente Wolfio, in textum recepi.

[4] *τῆς τριάδος.*] Primum hunc esse locum constat, in quo Trinitatis divinæ nomen apud Patres occurrit. Usurpatur autem a Clemente Alex. et sæpius ab Origene.

[5] *τῆς σοφίας αὐτοῦ.*] Sapientiæ voce intelligit Theophilus Spiritum Sanctum, quemadmodum etiam locutus est Irenæus IV. 20. "Adest ei semper Verbum et Sapientia, Filius et Spiritus, per quos et in

§ 15. Quarto die facta sunt luminaria. Deus enim præsciverat nugas vanorum philosophorum, qui dicturi erant a luminaribus esse quidquid in terra gignitur, ut Deum ex animis tollerent. Quare ut veritas pateret, creatæ sunt plantæ et semina ante sidera. Quod enim posterius est non potest ea facere quæ priora sunt. Hæc autem exemplum et imaginem magni mysterii continent. Sol enim imago Dei est, luna hominis. Atque ut sol lunam plurimum antecellit potentia et gloria, sic Deus longe præstantior humanitate. Et quemadmodum sol plenus semper manet, et nunquam minuitur, sic Deus perfectus semper manet, plenus omni potestate et prudentia et sapientia et immortalitate atque omnibus bonis. Luna autem singulis mensibus minuitur et quodammodo interit, hominis similitudinem exhibens; deinde renascitur et crescit in exemplum futuræ resurrectionis. Similiter tres illi dies qui ante luminaria fuerunt, imagines sunt Trinitatis, Dei et Verbi ejus et Sapientia ejus. Quartæ autem imagini re-

---

quibus omnia libere et sponte fecit; ad quos et loquitur dicens, Faciamus hominem ad imaginem et similitudinem nostram;" et IV. 7. "Ministrat ei ad omnia sua progenies et figuratio sua, id est Filius et Spiritus Sanctus, Verbum et Sapientia, quibus serviunt et subjecti sunt omnes angeli." Vide etiam III. 24. atque, ut videtur, Origen. contr. Cels. VI. 69. *δυσθεώρητος γὰρ ὁ θεῖος λόγος, δυσθεώρητος δὲ οὑτωσὶ καὶ σοφία ἐστὶν, ἐν ᾗ τὰ πάντα πεποίηκεν ὁ Θεός.* Alibi noster Filium, Spiritum et Sapientiam Dei vocat, e. g. supr. § 10. Si autem in hoc loco per Sapientiæ vocem Filium intellexisset, non consisteret Trinitas personarum, quæ hic aperte designatur. (Wolf.) Scilicet Theophilus aliquando Paracleti nomina Filio tribuit, quia Paracletus a Filio missus est.

τοῦ φωτὸς, ἵνα ᾖ Θεὸς, λόγος, σοφία, ἄνθρωπος. διὰ τοῦτο καὶ τῇ τετάρτῃ ἡμέρᾳ ἐγεννήθησαν φωστῆρες. ἡ δὲ τῶν ἄστρων θέσις οἰκονομίαν καὶ τάξιν ἔχει τῶν δικαίων καὶ εὐσεβῶν καὶ τηρούντων τὸν νόμον καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ. οἱ γὰρ ἐπιφανεῖς ἀστέρες καὶ λαμπροὶ εἰσὶν εἰς μίμησιν τῶν προφητῶν. διὰ τοῦτο καὶ μένουσιν ἀκλινεῖς, μὴ μεταβαίνοντες εἰς τόπον ἐκ τόπου. οἱ δὲ ἑτέραν ἔχοντες τάξιν τῆς λαμπρότητος, τύποι εἰσὶ τοῦ λαοῦ τῶν δικαίων. οἱ δ' αὖ μεταβαίνοντες καὶ φεύγοντες τόπον ἐκ τόπου, οἱ καὶ πλάνητες καλούμενοι, καὶ αὐτοὶ τύπος τυγχάνουσι τῶν ἀφισταμένων ἀνθρώπων ἀπὸ τοῦ Θεοῦ, καταλιπόντων τὸν νόμον καὶ τὰ προστάγματα αὐτοῦ.

§ 16. Τῇ δὲ πέμπτῃ ἡμέρᾳ τὰ ἐκ τῶν ὑδάτων ἐγενήθη ζῶα· δι' ὧν καὶ ἐν τούτοις δείκνυται ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. τίς γὰρ δύναιτ' ἂν τὴν ἐν αὐτοῖς πληθὺν καὶ γονὴν παμποίκιλον ἐξαριθμῆσαι; ἔτι μὴν καὶ εὐλογήθη ὑπὸ τοῦ Θεοῦ τὰ ἐκ τῶν ὑδάτων γενόμενα, ὅπως ᾖ καὶ τοῦτο εἰς δεῖγμα τοῦ μέλλειν λαμβάνειν τοὺς ἀνθρώπους μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν διὰ ὕδατος καὶ λουτροῦ παλιγγενεσίας πάντας τοὺς προσίοντας τῇ ἀληθείᾳ, καὶ ἀναγεννωμένους καὶ λαμβάνοντας εὐλογίαν παρὰ τοῦ Θεοῦ. ἀλλὰ καὶ τὰ κήτη καὶ τὰ πετεινὰ τὰ σαρκοβόρα ἐν ὁμοιώματι τυγχάνει τῶν πλεονεκτῶν καὶ παραβατῶν. ὥσπερ γὰρ ἐκ μιᾶς φύσεως ὄντα τὰ ἔνυδρα καὶ τὰ πετεινὰ, ἔνια μὲν μένει ἐν τῷ κατὰ φύσιν, μὴ ἀδικοῦντα τὰ ἑαυτῶν ἀσθενέστερα, ἀλλὰ τηρεῖ νόμον τοῦ Θεοῦ, καὶ ἀπὸ τῶν σπερμάτων τῆς γῆς ἐσθίει· ἔνια δὲ ἐξ αὐτῶν παραβαίνει τὸν νόμον τοῦ Θεοῦ σαρκοβοροῦντα, καὶ ἀδικεῖ τὰ ἑαυτῶν ἀσθενέστερα· οὕτως καὶ οἱ

spondet homo, qui luce indiget, ut sint Deus, Verbum, Sapientia, homo. Hæc est causa quare luminaria quarto die condita sint. Astrorum autem dispositio exhibet nobis descriptas sedes et ordinem justorum et piorum et legem ac mandata Dei observantium. Nam splendidiora et lucidiora astra sunt in imitationem prophetarum: propterea cursum non inflectunt, neque in locum ex loco transcurrunt. Quæ vero secundum tenent splendoris locum, imagines sunt cœtûs justorum. Errantia autem, et locum ex loco mutantia, quæ etiam planetæ dicuntur, imago sunt eorum, qui a Deo deficiunt, ejusque leges et præcepta deserunt.

§ 16. Die quinto generata ex aquis animalia prodiere, ex quibus multiplex Dei sapientia in his quoque rebus perspicitur. Quis enim possit eorum multitudinem et generum varietatem enumerare? Præterea benedixit Deus iis quæ ex aquis nata sunt, ut id quoque signum esset, homines pœnitentiam et remissionem peccatorum per aquam et lavacrum regenerationis accepturos esse, quotquot ad veritatem accedunt, et regenerantur, et benedictionem a Deo accipiunt. Sed et cete et aves carnivoræ habent similitudinem hominum rapacium et scelestorum. Sicut enim aquatilia et volatilia, quæ ex eadem natura sunt, partim naturæ obtemperant, et nullam imbecillioribus injuriam faciunt, sed legem Dei servant, atque seminibus terræ vescuntur, partim Dei legem transgrediuntur, carnes vorant, infirmioribus vim afferunt; ita justi, qui legem Dei custodiunt, neminem

δίκαιοι φυλάσσοντες τὸν νόμον τοῦ Θεοῦ οὐδένα δάκνουσιν ἢ ἀδικοῦσιν, ὁσίως καὶ δικαίως ζῶντες· οἱ δὲ ἅρπαγες καὶ φονεῖς καὶ ἄθεοι ἐοίκασι κήτεσι καὶ θηρίοις καὶ πετεινοῖς τοῖς σαρκοβόροις. δυνάμει γὰρ καταπίνουσι τοὺς ἀσθενεστέρους ἑαυτῶν. ἡ μὲν οὖν τῶν ἐνύδρων καὶ ἑρπετῶν γονὴ, μετεσχηκυῖα τῆς εὐλογίας[1] τοῦ Θεοῦ, οὐδὲν ἴδιον[2] πάνυ κέκτηται.

§ 17. Ἕκτῃ δὲ ἡμέρᾳ ὁ Θεὸς ποιήσας τὰ τετράποδα καὶ τὰ θηρία καὶ ἑρπετὰ τὰ χερσαῖα τὴν πρὸς αὐτὰ εὐλογίαν παρασιωπᾷ, τηρῶν τῷ ἀνθρώπῳ τὴν εὐλογίαν, ὃν ἤμελλεν ἐν τῇ ἕκτῃ ἡμέρᾳ ποιεῖν. ἅμα καὶ εἰς τύπον ἐγένοντο τὰ τετράποδα καὶ θηρία ἐνίων ἀνθρώπων τὸν Θεὸν ἀγνοούντων καὶ ἀσεβούντων, καὶ τὰ ἐπίγεια φρονούντων[3], καὶ μὴ μετανοούντων. οἱ γὰρ ἐπιστρέφοντες ἀπὸ τῶν ἀνομιῶν καὶ δικαίως ζῶντες, ὥσπερ πετεινὰ ἀνίπτανται τῇ ψυχῇ, τὰ ἄνω φρονοῦντες[4] καὶ εὐαρεστοῦντες τῷ θελήματι τοῦ Θεοῦ. οἱ δὲ τὸν Θεὸν ἀγνοοῦντες καὶ ἀσεβοῦντες ὅμοιοί εἰσιν ὀρνέοις τοῖς πτερὰ μὲν ἔχουσι, μὴ δυναμένοις δὲ ἀνίπτασθαι, καὶ τὰ ἄνω τρέχειν τῆς θειότητος. οὕτω καὶ οἱ τοιοῦτοι ἄνθρωποι μὲν λέγονται, τὰ δὲ χαμαιφερῆ καὶ τὰ ἐπίγεια φρονοῦσι, καταβαρούμενοι ὑπὸ τῶν ἁμαρτιῶν. θηρία δὲ ὠνόμασται τὰ ζῶα ἀπὸ τοῦ θηρεύεσθαι[5]· οὐχ ὡς κακὰ ἀρχῆθεν γεγενημένα ἢ ἰοβόλα. οὐ γάρ τι κακὸν γέγονεν ἀπὸ Θεοῦ, ἀλλὰ τὰ πάντα καλὰ, καὶ καλὰ λίαν· ἡ δὲ ἁμαρτία ἡ περὶ τὸν ἄνθρωπον κεκάκωκεν αὐτά. τοῦ γὰρ ἀνθρώπου παρα-

---

[1] τῆς εὐλογίας.] Animalibus aquatilibus benedixisse Deus narratur, non autem terrestribus; vid. Gen. i. 22.

[2] οὐδὲν ἴδιον.] i. e. Nihil insigne, nihil quo cæteris præstent animalibus.

mordent, aut lædunt, sancte et juste vivunt; rapaces autem homicidæ et impii cetibus similes sunt, feris, et avibus carnivoris; devorant enim quodammodo infirmiores. Aquatilium autem et volatilium genus, quamvis benedictionem Dei participavit, nihil tamen proprie consecutum est.

§ 17. Sexto autem die cum Deus fecisset quadrupedes, feras et reptilia terrestria, benedictionem reticet; eamque homini reservat, quem facturus erat sexto die. Sunt autem quadrupedes et feræ imago quorundam hominum, qui Deum ignorant, impie vivunt, terrena sapiunt nec pœnitentiam agunt. Nam qui convertuntur ab iniquitatibus et juste vivunt, ii velut aves animo sursum volitant, superna curant, et Dei voluntati obsequuntur. Qui vero Deum ignorant et impie degunt, similes sunt iis avibus, quæ pennas quidem habent, sed nequeunt sursum volare, nec ad superna deitatis excurrere. Ita et isti homines quidem appellantur, sed humilia et terrena sentiunt, depressi peccatorum pondere. Feræ autem dicuntur *ἀπὸ τοῦ θηρεύεσθαι*, quia venando capiantur, non quod noxiæ et venenatæ ab initio fuerint; nihil enim malum a Deo factum, sed bona omnia et valde bona: sed peccatum hominis eas in vitium abduxit. Homine

---

3 *τὰ ἐπίγεια φρονούντων.*] Phil. iii. 19.

4 *τὰ ἄνω φρονοῦντες.*] Col. iii. 2.

5 *θηρεύεσθαι.*] Non male conjectat Editor Bened. *θηριοῦσθαι quia efferatæ sint*; sed quod eandem interpretationem dederit voci *θηρεύεσθαι*, non probo.

βάντος καὶ αὐτὰ συμπαρέβη. ὥσπερ γὰρ δεσπότης οἰκίας, ἐὰν αὐτὸς εὖ πράσσῃ, ἀναγκαίως καὶ οἱ οἰκέται εὐτάκτως ζῶσιν· ἐὰν δὲ ὁ κύριος ἁμαρτάνῃ, καὶ οἱ δοῦλοι συναμαρτάνουσι· τῷ αὐτῷ τρόπῳ γέγονε καὶ τὰ περὶ τὸν ἄνθρωπον κύριον ὄντα ἁμαρτῆσαι, καὶ τὰ δοῦλα συνήμαρτεν. ὁπόταν οὖν πάλιν ὁ ἄνθρωπος ἀναδράμῃ εἰς τὸ κατὰ φύσιν, μηκέτι κακοποιῶν· κἀκεῖνα ἀποκατασταθήσεται εἰς τὴν ἀρχῆθεν ἡμερότητα.

§ 18. Τὰ δὲ περὶ τῆς ἀνθρώπου ποιήσεως, ἀνέκφραστός ἐστιν ὡς πρὸς ἄνθρωπον ἡ κατ' αὐτὸν δημιουργία, καίπερ σύντομον ἔχει ἡ θεία γραφὴ τὴν κατ' αὐτὸν ἐκφώνησιν. ἐν τῷ γὰρ εἰπεῖν τὸν Θεόν· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τὴν ἡμετέραν, πρῶτον μηνύει τὸ ἀξίωμα τοῦ ἀνθρώπου. πάντα γὰρ λόγῳ ποιήσας ὁ Θεὸς, καὶ τὰ πάντα πάρεργα ἡγησάμενος, μόνον ἰδίων ἔργον χειρῶν ἡγεῖται τὴν ποίησιν τοῦ ἀνθρώπου. ἔτι μὴν καὶ ὡς βοηθείας χρῄζων ὁ Θεὸς εὑρίσκεται λέγων· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν. οὐκ ἄλλῳ δέ τινι [1] εἴρηκε, ποιήσωμεν, ἀλλ' ἢ τῷ ἑαυτοῦ λόγῳ καὶ τῇ ἑαυτοῦ σοφίᾳ. ποιήσας δὲ αὐτὸν καὶ εὐλογήσας εἰς τὸ αὐξάνεσθαι καὶ πληρῶσαι τὴν γῆν, ὑπέταξεν αὐτῷ ὑποχείρια καὶ ὑπόδουλα τὰ πάντα· προσέταξε δὲ καὶ ἔχειν τὴν δίαιταν αὐτὸν ἀρχῆθεν ἀπὸ τῶν καρπῶν τῆς γῆς καὶ τῶν σπερμάτων καὶ χλοῶν καὶ ἀκροδρύων, ἅμα καὶ συνδίαιτα

---

[1] *οὐκ ἄλλῳ δέ τινι κ.τ.λ.*] Cf. Basil. adv. Eunom. v. 4. *τίνι γὰρ λέγει τὸ ποιήσωμεν, ἢ τῷ λόγῳ καὶ μονογενεῖ υἱῷ δι' οὗ πάντα ἐγένετο, κατὰ τὸν εὐαγγελιστὴν, καὶ τῷ πνεύματι, περὶ οὗ γέγραπται, πνεῦμα θεῖον τὸ ποιῆσάν με;* et Iren. citat. supr. § 15. Paulo aliter S. Chrysostomus, qui de Filio tantum mentionem facit (Homil. in Gen. viii. 3.)

enim de via deflectente, ipsæ quoque simul deflexerunt. Sicut enim paterfamilias cum bene se gerit, famuli quoque recte vivant necesse est; quod si dominus peccaverit, servi una delinquent; eodem modo evenit, ut peccante homine, rerum domino, servi quoque peccent. Cum autem redierit homo ad id quod secundum naturam est, et finem peccandi fecerit, feræ quoque in pristinam mansuetudinem restituentur.

§ 18. Quod autem spectat ad hominis creationem, major est quam ut ab homine enarrari possit; quamvis perbreve sit quod de eo Scriptura divina pronuntiavit. Nam cum dicit Deus *Faciamus hominem ad imaginem et similitudinem nostram,* primo demonstrat hominis dignitatem. Nam cum Deus per Verbum omnia fecisset, quasi cætera parvi duceret, hoc unum opus propriis manibus dignum existimavit, hominis creationem. Quinetiam quasi auxilio indigeret Deus, dicere invenitur; *Faciamus hominem ad imaginem et similitudinem.* Nemini autem dicit Faciamus, nisi Verbo suo et Sapientiæ suæ. Cum autem eum fecisset et benedixisset, ut augesceret et terram repleret, subjecit omnia ejus potestati et imperio, præcepitque in principio, ut fructibus terræ seminibus herbis et glandibus vesceretur,

---

τίς οὖν ἐστιν οὗτος, πρὸς ὃν φησι, ποιήσωμεν ἄνθρωπον; τίς δὲ ἄλλος ἀλλ' η ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, ὁ θαυμαστὸς σύμβουλος, ὁ ἐξουσιαστὴς, ὁ ἄρχων τῆς εἰρήνης, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, ὁ μονογενὴς τοῦ Θεοῦ παῖς, ὁ τῷ πατρὶ ὅμοιος κατὰ τὴν οὐσίαν, δι' οὗ τὰ πάντα παρήχθη.

κελεύσας εἶναι τὰ ζῶα τῷ ἀνθρώπῳ, εἰς τὸ καὶ αὐτὰ ἐσθίειν ἀπὸ τῶν σπερμάτων ἁπάντων τῆς γῆς.

§ 19. Οὕτω συντελέσας ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα ὅσα ἐν αὐτοῖς ἐν τῇ ἕκτῃ ἡμέρᾳ, κατέπαυσεν ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν. εἶθ' οὕτως ἀνακεφαλαιοῦται λέγουσα ἡ ἁγία γραφή· αὕτη βίβλος [1] γενέσεως οὐρανοῦ καὶ τῆς γῆς, ὅτε ἐγένετο ἡμέρα ᾗ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι. οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν· καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν. διὰ τούτου ἐμήνυσεν ἡμῖν ὅτι καὶ ἡ γῆ πᾶσα κατ' ἐκεῖνο καιροῦ ἐποτίζετο ὑπὸ πηγῆς θείας, καὶ οὐκ εἶχε χρείαν [2] ἐργάζεσθαι αὐτὴν ἄνθρωπον· ἀλλὰ τὰ πάντα αὐτοματισμῷ ἀνέφυεν ἡ γῆ κατὰ τὴν ἐντολὴν τοῦ Θεοῦ, πρὸς τὸ μὴ κοπιᾶν ἐργαζόμενον τὸν ἄνθρωπον. ὅπως δὲ καὶ ἡ πλάσις δειχθῇ, πρὸς τὸ μὴ δοκεῖν εἶναι ζήτημα ἐν ἀνθρώποις ἀνεύρετον, ἐπειδὴ εἴρητο ὑπὸ τοῦ Θεοῦ, ποιήσωμεν ἄνθρωπον, καὶ οὔπω ἡ ποίησις αὐτοῦ πεφανέρωται, διδάσκει ἡμᾶς ἡ γραφὴ λέγουσα· πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς, καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. ὅθεν καὶ ἀθάνατος [3] ἡ ψυχὴ ὠνόμασται παρὰ τοῖς πλείοσι.

---

[1] *αὕτη βίβλος.*] Gen. ii. 4.

[2] *οὐκ εἶχε χρείαν.*] Idem fere dicit S. Chrysostomus Homil. in Gen. xii. 2. nosque Scripturæ verbis (Gen. ii. 5.) admoneri ait, ut

atque ut animalia una cum homine victum haberent, atque omnibus terræ seminibus pariter viverent.

§ 19. Cum sic absolvisset Deus cœlum et terram et mare et omnia quæ in eis sunt die sexto, requievit die septimo ab omnibus operibus quæ fecerat. Deinde sancta scriptura in hunc modum summam facit: *Iste liber generationis cœli et terræ, quando facta sunt, in die quo fecit Deus cœlum et terram, et omne virgultum agri antequam fieret, et omnem herbam agri antequam prodiret. Non enim pluerat Deus super terram, nec erat homo qui coleret eam.* Quibus verbis declarat universam terram hoc tempore divino fonte irrigatam fuisse, nec opus habuisse ut ab homine coleretur; sed sua sponte omnia secundum Dei præceptum fudisse, ne homo laborando fatigaretur. Ut autem creatio hominis monstraretur, nec quæstio inter homines inextricabilis esse videretur, quia dictum erat a Deo Faciamus hominem; nec tamen illius creatio patefacta erat; sic nos edocet Scriptura; *Fons autem ascendebat de terra et irrigabat universam faciem terræ: et formavit Deus hominem pulverem de terra, et insufflavit in faciem ejus flatum vitæ, et factus est homo in animam viventem.* Unde et immortalis anima a plurimis dicitur. Postquam autem formavit

---

ne agricolarum operæ nimium tribuamus. (Bened.)

[3] *ὅθεν καὶ ἀθάνατος.*] i.e. Animæ immortalitatem ex hoc loco Scripturæ arguunt plerique. Sed Theophilus illorum opinioni non plane consentire videtur; cf. infra § 26 et 27.

μετὰ δὲ τὸ πλάσαι τὸν ἄνθρωπον, ὁ Θεὸς ἐξελέξατο αὐτῷ χώριον ἐν τοῖς τόποις τοῖς ἀνατολικοῖς, διάφορον φωτὶ, διαυγὲς ἀέρι λαμπροτέρῳ, φυτοῖς παγκαλοῖς, ἐν ᾧ ἔθετο τὸν ἄνθρωπον.

§ 20. Τὰ δὲ ῥητὰ τῆς ἱστορίας τῆς ἱερᾶς ἡ γραφὴ οὕτω περιέχει. καὶ ἐφύτευσεν ὁ Θεὸς τὸν παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε. καὶ ἐξανέτειλεν ὁ Θεὸς ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν, καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. ὄνομα τῷ ἑνὶ Φεισών. οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ· ἐκεῖ οὖν ἐστι χρυσίον. τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· κἀκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γεών. οὗτος κυκλοῖ πᾶσαν τὴν γῆν Αἰθιοπίας. καὶ ὁ ποταμὸς ὁ τρίτος, Τίγρις. οὗτος ὁ πορευόμενος κατεναντίας Συρίων. ὁ δὲ ποταμὸς ὁ τέταρτος Εὐφράτης. καὶ ἔλαβε κύριος ὁ Θεὸς τὸν ἄνθρωπον ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ, ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. καὶ ἐνετείλατο ὁ Θεὸς τῷ Ἀδὰμ, λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ. ᾗ δ' ἂν ἡμέρᾳ φάγησθε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε. καὶ εἶπε κύριος ὁ Θεός· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἤγαγεν αὐτὰ πρὸς

hominem Deus, elegit ei regionem in locis orientalibus, lumine præstantem, pellucidum aere splendidiore, plantis variis fœcundum, ubi posuit hominem.

§ 20. Verba autem historiæ sacræ sic refert Scriptura: *Plantavit insuper Dominus Deus hortum in Eden ab oriente, et posuit illic hominem quem finxerat. Fecit etiam germinare Dominus Deus de humo omnem arborem quæ concupiscibilis erat visui, et commoda in cibum; et arbor vitæ erat in medio horti, atque arbor scientiæ boni et mali. Et fluvius egrediebatur de Eden ad irrigandum hortum, et inde dividebatur in quatuor capita. Nomen unius Pison, ipse est qui circuit totam terram Havilath, ubi est aurum. Et aurum terræ illius est bonum: est quoque illic bdellium et lapis prasinus. Nomen vero fluvii secundi Gihon; ipse est qui circuit totam terram Æthiopiæ. Porro nomen fluvii tertii Tigris, et hic vadit ad orientalem plagam Assyriæ; et quartus fluvius est Euphrates. Tulit itaque Dominus Deus ipsum hominem quem fecit, et posuit eum in horto Eden, ut coleret et custodiret ipsum. Præcepitque Dominus Deus ipsi Adam, dicens, De omni ligno horti comedendo comedes; de arbore vero scientiæ boni et mali, nequaquam comedes ex illa: alioqui quacunque die comederitis ex ea moriendo moriemini. Et rursum dixit Dominus Deus; Non est bonum ut sit homo solus; faciam illi adjutorium, quod sit simile illi. Itaque formavit*

τὸν Ἀδάμ[1]. καὶ πᾶν ὃ ἂν ἐκάλεσεν αὐτὰ Ἀδὰμ, ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτοῦ. καὶ ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσι, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ. τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. καὶ ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἐνεπλήρωσε σάρκα ἀντ' αὐτοῦ, καὶ ᾠκοδόμησε κύριος ὁ Θεὸς τὴν πλευρὰν ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ. καὶ εἶπεν Ἀδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου, αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆ[2] ἐλήφθη· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. καὶ ἦσαν οἱ δύο γυμνοὶ, ὅ τε Ἀδὰμ, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο.

§ 21. Ὁ δὲ ὄφις ἦν φρονιμώτερος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε κύριος ὁ Θεός· καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· τί ὅτι εἶπεν ὁ Θεὸς οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου; καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει· ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου φαγόμεθα, ἀπὸ δὲ καρποῦ τοῦ ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ Θεός· οὐ μὴ φάγησθε ἀπ' αὐτοῦ, οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε. καὶ εἶπεν ὁ ὄφις τῇ γυναικὶ, οὐ θανάτῳ ἀποθανεῖσθε. ᾔδει γὰρ ὁ Θεὸς ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοὶ, γινώσκοντες κα-

---

[1] τὸν Ἀδάμ.] Post hæc desunt voces quæ leguntur apud LXX. ἰδεῖν τί καλέσει αὐτά.

Dominus Deus de humo omnem bestiam agri, et omne volatile cœli, adduxitque ad Adam, ut videret quomodo appellaret illud: omne enim quod ipse Adam vocabat de anima vivente, illud nomen ejus erat. Igitur vocavit Adam nomina cuique jumento et omni volatili cœli, omnique bestiæ agri; et pro Adam non inveniebatur adjutorium quod esset coram eo. Et fecit illabi Dominus Deus soporem in Adam; et obdormivit; tulitque unam ex costis illius, et clausit carnem pro ea. Et ædificavit Dominus Deus costam, quam acceperat de Adam, in mulierem, et adduxit eam ad Adam. Et ait Adam: Hoc est os de ossibus meis, et caro de carne mea: hæc vocabitur femina, eo quod de homine sumpta sit. Propterea deseret vir patrem suum et matrem suam, et adhærebit uxori suæ, eruntque duo in carnem unam. Erant autem ambo illi nudi, Adam inquam et uxor ejus, et non erubescebant.

§ 21. *Serpens vero fuit callidior omnibus bestiis agri, quas fecit Dominus Deus, et dixit ad mulierem: Quare dixit Deus, Non comedetis de omni ligno horti? Et dixit mulier ad serpentem, De fructu ligni horti comedimus, de fructu vero arboris quæ est in medio horti, dixit Deus; Nequaquam comedetis ex illa, neque contingetis illam, ne moriamini. Et dixit serpens ad mulierem; Non moriendo moriemini. Sciebat enim Deus,*

---

[2] *αὐτή.*] Ita cod. Bodl. Hodierni codices τῶν LXX. *αὐτῆς*. Sed *αὐτὴ* cum Hebræo consentit.

λὸν καὶ πονηρόν. καὶ εἶδεν ἡ γυνὴ, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι. καὶ λαβοῦσα ἀπὸ τοῦ καρποῦ αὐτοῦ ἔφαγε, καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς μεθ' ἑαυτῆς, καὶ ἔφαγον. καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν· καὶ ἔῤῥαψαν φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα, καὶ ἤκουσαν τῆς φωνῆς κυρίου τοῦ Θεοῦ, περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν. καὶ ἐκρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου τοῦ Θεοῦ, ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. καὶ ἐκάλεσε κύριος ὁ Θεὸς τὸν Ἀδὰμ, καὶ εἶπεν αὐτῷ ποῦ εἶ; καὶ εἶπεν αὐτῷ· τὴν φωνήν σου ἤκουσα ἐν τῷ παραδείσῳ, καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. καὶ εἶπεν αὐτῷ· τίς ἀνήγγειλέ σοι, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; καὶ εἶπεν Ἀδάμ· ἡ γυνὴ, ἣν ἔδωκάς μοι, αὐτή μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον. καὶ εἶπεν ὁ Θεὸς τῇ γυναικί· τί τοῦτο ἐποίησας; καὶ εἶπεν ἡ γυνή· ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον. καὶ εἶπε κύριος ὁ Θεὸς τῷ ὄφει· ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς. ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ σου πορεύσῃ, καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· καὶ ἔχθραν ποιήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικὸς, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ τοῦ σπέρματος αὐτῆς. αὐτός σου τηρήσει τὴν κεφαλὴν, καὶ σὺ αὐτοῦ τηρήσεις τὴν πτέρναν. καὶ τῇ γυναικὶ εἶπε· πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τὸν στεναγμόν σου. ἐν λύπῃ τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου· καὶ αὐτός σου κυριεύσει. τῷ δὲ Ἀδὰμ

quod ipso die quando comederitis ex ipsa, aperientur oculi vestri, et eritis sicut dii scientes bonum et malum. Videns itaque mulier quod bonum esset lignum in cibum, et oculis gratum ad videndum et speciosum ad considerandum, tulit de fructu illius et comedit, deditque viro suo existenti secum, et comederunt. Et aperti sunt oculi amborum, et cognoverunt quod nudi essent, et consuerunt folia ficulnea, feceruntque sibi cinctoria. Et audierunt vocem Domini Dei deambulantis in horto ad vesperam, et abscondit se Adam et uxor illius a facie Domini Dei inter arbores horti. Et vocavit Dominus Deus ipsum Adam, et ait illi: Ubi es tu? Qui ait: Vocem tuam audivi in horto, et extimui, quia nudus ego, et absconditus sum. Et ille dixit: Quis indicavit tibi quod nudus esses? nunquid de ipsa arbore, de qua præcepi tibi ut non comederes ex ipsa, comedisti? Et dixit Adam: Mulier ipsa quam dedisti ut mecum esset, ipsa dedit mihi de arbore, et comedi. Et dixit Dominus ad mulierem: Cur hoc fecisti? Et dixit mulier: Ipse serpens seduxit me, et comedi. Et dixit Dominus Deus ad serpentem: Quia fecisti hoc, maledictus es præ omni animali, et præ omni bestiæ terræ; supra ventrem tuum gradieris, et pulverem comedes omnibus diebus vitæ tuæ. Et inimicitias ponam inter te et inter ipsam mulierem, inter semen tuum, et inter semen illius, ipsum observabit tibi caput, et tu observatis ejus calcaneum. Ad mulierem vero dixit: Multiplicando multiplicabo dolorem tuum et genitum tuum: in dolore paries filios, et ad virum tuum erit desiderium tuum, et ipse dominabitur tibi. Ad Adam vero dixit; Quia audisti

εἶπεν· ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι μόνου τούτου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες· ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ σου. ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.

§ 22. Ἐρεῖς οὖν μοι· σὺ φῂς τὸν Θεὸν ἐν τόπῳ μὴ δεῖν χωρεῖσθαι, καὶ πῶς νῦν λέγεις αὐτὸν ἐν τῷ παραδείσῳ περιπατεῖν; ἄκουε ὅ φημι· ὁ μὲν Θεὸς καὶ πατὴρ τῶν ὅλων ἀχώρητός ἐστι, καὶ ἐν τόπῳ οὐχ εὑρίσκεται· οὐ γάρ ἐστι τόπος τῆς καταπαύσεως αὐτοῦ. ὁ δὲ λόγος αὐτοῦ, δι' οὗ τὰ πάντα πεποίηκε, δύναμις ὢν καὶ σοφία αὐτοῦ, ἀναλαμβάνων τὸ πρόσωπον[1] τοῦ πατρὸς καὶ κυρίου τῶν ὅλων, οὗτος παρεγίνετο εἰς τὸν παράδεισον ἐν προσώπῳ τοῦ Θεοῦ, καὶ ὡμίλει τῷ Ἀδάμ. καὶ γὰρ αὐτὴ ἡ θεία γραφὴ διδάσκει ἡμᾶς τὸν Ἀδὰμ λέγοντα τῆς φωνῆς ἀκηκοέναι· φωνὴ δὲ τί ἄλλο ἐστὶν, ἀλλ' ἢ ὁ λόγος ὁ τοῦ Θεοῦ, ὅς ἐστι καὶ υἱὸς αὐτοῦ; οὐχ ὡς οἱ ποιηταὶ καὶ μυθογράφοι λέγουσιν υἱοὺς θεῶν ἐκ συνουσίας γεννωμένους, ἀλλὰ ὡς ἀληθεία διηγεῖται τὸν λόγον, τὸν ὄντα διαπαντὸς ἐνδιάθετον ἐν καρδίᾳ Θεοῦ. πρὸ γὰρ τὶ γίνεσθαι, τοῦτον εἶχε σύμβουλον, ἑαυτοῦ νοῦν καὶ φρόνησιν ὄντα. ὁπότε δ'[2] ἠθέλησεν

---

1 *ἀναλαμβάνων τὸ πρόσωπον.*] Hæc non ita intelligi debent quasi una S. Trinitatis persona alteram indueret; vox enim *πρόσωπον* de personis Trinitatis usurpari nondum cœperat; sed metaphora e theatro sumpta, dicit Theophilus Filium partes agere Patris, et illius nomine loqui.

2 *ὁπότε δὲ κ.τ.λ.*] Hæc cum *æterna* quæ dicitur, generatione

vocem uxoris tuæ, et comedisti de arbore, de qua præcepi tibi, dicens, Non comedes ex ea; maledicta est humus in operibus tuis, in dolore comedes eam omnibus diebus vitæ tuæ. Et spinam atque tribulum germinabit tibi, et manducabis herbam agri. In sudore vultus tui vesceris pane tuo, donec revertaris in humum, ex qua sumptus es; quandoquidem pulvis sis, et in pulverem reversurus sis.

§ 22. Dices igitur mihi: Deum dicebas comprehendi loco non posse; quomodo eum nunc in paradiso dicis ambulare? Audi quid respondeam; Deus et pater universorum non potest comprehendi, nec invenitur in loco, neque enim est locus in quo requiescat. Sed ejus Verbum, per quod fecit omnia, cum sit ejus potentia et sapientia, assumens patris et domini universorum personam, veniebat in paradisum sub persona Dei, et cum Adamo colloquebatur. Nam et ipsa nos divina docet Scriptura Adamum dixisse auditam esse a se vocem. Vox autem illa quid aliud esse potest quam Verbum Dei, quod ejus quoque filius est; non ut poetæ et fabularum scriptores filios deorum ex concubitu genitos fingunt, sed ut veritas narrat, Verbum semper existens in corde Dei insitum. Ante enim quam quidquam fieret, illum habuit consiliarium, quippe qui ejus

---

Filii non omnino quadrare videntur; nos enim affirmamus Filium ab æterno generatum esse; Theophilo autem auctore, extitit quidem Verbum ab æterno in sinu Patris ἐνδιάθετος, tunc autem generatus est, cum fiebat προφορικὸς, id est, cum Pater mundum facturus erat. Sed vide quæ ad § 10. annotavimus; et cf. Waterland. Opp. Vol. I. 2. p. 104; II. p. 4; III. p. 268, etc. Ed. Oxon. 1823.

ὁ Θεὸς ποιῆσαι ὅσα ἐβουλεύσατο, τοῦτον τὸν λόγον ἐγέννησε προφορικὸν, πρωτότοκον πάσης κτίσεως [1], οὐ κενωθεὶς αὐτὸς τοῦ λόγου, ἀλλὰ λόγον γεννήσας, καὶ τῷ λόγῳ αὐτοῦ διαπαντὸς ὁμιλῶν. ὅθεν διδάσκουσιν ἡμᾶς αἱ ἅγιαι γραφαὶ, καὶ πάντες οἱ πνευματοφόροι, ἐξ ὧν Ἰωάννης λέγει· ἐν ἀρχῇ [2] ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν· δεικνὺς ὅτι ἐν πρώτοις μόνος ἦν ὁ Θεὸς, καὶ ἐν αὐτῷ ὁ λόγος. ἔπειτα λέγει· καὶ Θεὸς ἦν ὁ λόγος· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Θεὸς οὖν ὢν ὁ λόγος, καὶ ἐκ Θεοῦ πεφυκὼς, ὁπόταν βούληται ὁ πατὴρ τῶν ὅλων, πέμπει αὐτὸν εἴς τινα τόπον· ὃς παραγινόμενος καὶ ἀκούεται καὶ ὁρᾶται, πεμπόμενος ὑπ' αὐτοῦ, καὶ ἐν τόπῳ εὑρίσκεται.

§ 23. Τὸν οὖν ἄνθρωπον ὁ Θεὸς πεποίηκεν ἐν τῇ ἕκτῃ ἡμέρᾳ, τὴν δὲ πλάσιν αὐτοῦ πεφανέρωκε μετὰ τὴν ἑβδόμην ἡμέραν, ὁπότε καὶ τὸν παράδεισον πεποίηκεν, εἰς τὸ ἐν κρείσσονι τόπῳ καὶ χωρίῳ διαφόρῳ αὐτὸν εἶναι. καὶ ὅτι ταῦτά ἐστιν ἀληθῆ, αὐτὸ τὸ ἔργον δείκνυσι. πῶς γὰρ οὐκ ἔστι κατανοῆσαι τὴν μὲν ὠδῖνα, ἣν πάσχουσιν ἐν τῷ τοκετῷ αἱ γυναῖκες, καὶ μετὰ τοῦτο λήθην τοῦ πόνου [3] ποιοῦνται, ὅπως πληρωθῇ [4] ὁ τοῦ Θεοῦ λόγος, εἰς αὐξάνεσθαι καὶ πληθύνεσθαι τὸ γένος τῶν ἀνθρώπων; τί δ' οὐχὶ καὶ τὴν τοῦ ὄφεως κατάκρισιν, πῶς στυγητὸς τυγχάνει ἕρπων ἐπὶ τῇ κοι-

---

[1] *πρωτότοκον πάσης κτίσεως.*] Col. i. 15.

[2] *ἐν ἀρχῇ.*] Joh. i. 1.

[3] *λήθην τοῦ πόνου.*] Joh. xvi. 21.

[4] *ὅπως πληρωθῇ.*] i.e. Pariunt in dolore mulieres, in pœnam

mens et prudentia sit. Cum autem voluit Deus ea facere quæ statuerat, hoc Verbum genuit prolatitium, primogenitum omnis creaturæ; non ita tamen ut ipse exinanitus esset Verbo, sed ut Verbum gigneret, et cum Verbo suo semper versaretur. Hæc nos docent Scripturæ sacræ et quotquot Spiritu afflati sunt, atque in his Joannes; *In principio erat Verbum, et Verbum erat apud Deum.* Quibus verbis ostendit initio solum fuisse Deum et in eo Verbum. Tum addit *Et Deus erat Verbum; omnia per ipsum facta sunt, et sine ipso factum est nihil.* Verbum igitur cum Deus sit et ex Deo genitum, illud pater universorum, cum ita visum fuerit, mittit in aliquem locum; quo cum venerit, auditur et cernitur missum ab eo, atque ita in loco invenitur.

§ 23. Hominem igitur Deus die sexto creavit, ejus autem creationem patefecit post septimum demum diem, cum paradisum parasset, ut in optimo et præstantissimo loco eum constitueret. Hæc autem vera esse res ipsa demonstrat. Nonne enim licet animadvertere dolores illos quos perferunt in partu et postea oblivioni tradunt mulieres, ut et Dei sermo impleatur et augeatur et crescat genus humanum? Nonne etiam ipsius serpentis condemnationem videmus, quam exosus sit, ventre serpens et

---

peccato impositam; doloris cito eas capit oblivio, ne generis humani propagatio cesset. (Bened.)

λίᾳ, καὶ ἐσθίων γῆν; ὅπως καὶ τοῦτο ᾖ εἰς ἀπόδειξιν ἡμῖν τῶν προειρημένων.

§ 24. Ἐξανατείλας οὖν ὁ Θεὸς ἐκ τῆς γῆς ἔτι πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν. ἐν γὰρ πρώτοις μόνα ἦν τὰ ἐν τῇ τρίτῃ ἡμέρᾳ γεγενημένα, φυτὰ καὶ σπέρματα καὶ χλόαι· τὰ δὲ ἐν τῷ παραδείσῳ ἐγενήθη διαφόρῳ καλλονῇ καὶ ὡραιότητι· ὅπου γε καὶ φυτεία ὠνόμασται ὑπὸ Θεοῦ πεφυτευμένη. καὶ τὰ μὲν λοιπὰ φυτὰ ὅμοια καὶ ὁ κόσμος ἔσχηκε. τὰ δὲ δύο ξύλα, τὸ τῆς ζωῆς, καὶ τὸ τῆς γνώσεως, οὐκ ἔσχηκεν ἑτέρα γῆ, ἀλλ' ἢ ἐν μόνῳ τῷ παραδείσῳ. ὅτι δὲ καὶ ὁ παράδεισος γῆ ἐστι, καὶ ἐπὶ τῆς γῆς πεφύτευται, ἡ γραφὴ λέγει· καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον· καὶ ἐξανέτειλεν ὁ Θεὸς ἔτι ἀπὸ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν. τῷ οὖν ἔτι ἐκ τῆς γῆς καὶ κατὰ ἀνατολὰς, σαφῶς διδάσκει ἡμᾶς ἡ θεία γραφὴ τὸν παράδεισον ὑπὸ τοῦτον τὸν οὐρανὸν[1], ὑφ' ὃν καὶ ἀνατολὴ καὶ γῆ εἰσιν. Ἐδὲμ δὲ Ἑβραϊστὶ τὸ εἰρημένον, ἑρμηνεύεται τρυφή. ποταμὸν δὲ σεσήμαγκεν ἐκπορεύεσθαι ἐξ Ἐδὲμ, ποτίζειν τὸν παράδεισον, κἀκεῖθεν διαχωρίζεσθαι εἰς τέσσαρας ἀρχάς· ὧν δύο, οἱ καλούμενοι Φεισὼν καὶ Γεὼν, ποτίζουσι τὰ ἀνατολικὰ μέρη, μάλιστα ὁ Γεὼν, ὁ κυκλῶν πᾶσαν γῆν Αἰθιοπίας, ὅν φασιν ἐν τῇ Αἰγύπτῳ ἀναφαίνεσθαι, τὸν καλούμενον Νεῖλον. οἱ δὲ ἄλλοι δύο ποταμοὶ φανερῶς γινώσκονται παρ' ἡμῖν, οἱ καλούμενοι

---

[1] *ὑπὸ τοῦτον τὸν οὐρανόν.*] Adversatur Theophilus nonnullorum Patrum sententiæ, qui paradisum Adamicum extra terram in cœlo

humum edens? ut et hoc quoque confirmationi sit eorum quæ prædiximus.

§ 24. Produxit autem Deus de humo omne lignum pulcrum visu et ad vescendum suave. Initio enim ea tantum erant quæ die tertio producta fuerant, plantæ semina herbæ. Quæ vero in paradiso, ea præstanti erant pulcritudine et amœnitate; quippe cum plantarium illud appelletur ab ipso Deo satum. Et cæteras quidem plantas mundus haud absimiles habuit. Duas autem arbores, vitæ et scientiæ, nulla alia terræ pars habuit nisi paradisus. Paradisum autem terram esse, et in terra satum docet Scriptura cum ait; *Et plantavit Deus paradisum in Eden ad Orientem, et posuit ibi hominem. Et produxit adhuc Deus de terra omne lignum pulcrum visu et bonum ad comedendum.* His igitur verbis, *adhuc de terra* et *ad Orientem* docet nos clare divina Scriptura paradisum sub hoc cœlo esse, sub quo Oriens et terra. Quod autem Hebraice dicitur Eden, si interpreteris idem est ac deliciæ. Fluvium quoque indicat ex Eden oriri, paradisum alluere, atque inde in quatuor capita dividi, quorum duo Phison et Geon vocata rigant partes orientales, præcipue Geon, qui totam Æthiopiam circumfluit, et in Ægypto sub Nili nomine apparere dicitur. Reliqui autem duo, quorum

---

tertio sive quarto collocabant. Ita Tatianus orat. adv. Gr.; Tertullianus de patientia; Clem. Alex.; Origenes, atque alii; quos vide ap. Valesii notas in Orationem Constant. cap. v.

Τίγρις καὶ Εὐφράτης· οὗτοι γὰρ γειτνιῶσιν ἕως τῶν ἡμετέρων κλιμάτων. θεὶς δὲ ὁ Θεὸς τὸν ἄνθρωπον, καθὼς προειρήκαμεν, ἐν τῷ παραδείσῳ, εἰς τὸ ἐργάζεσθαι καὶ φυλάσσειν αὐτὸν, ἐνετείλατο αὐτῷ ἀπὸ πάντων τῶν καρπῶν ἐσθίειν, δηλονότι καὶ ἀπὸ τοῦ τῆς ζωῆς, μόνου δὲ ἐκ τοῦ ξύλου τοῦ τῆς γνώσεως ἐνετείλατο αὐτῷ μὴ γεύσασθαι· μετέθηκε δὲ αὐτὸν ὁ Θεὸς ἐκ τῆς γῆς, ἐξ ἧς ἐγεγόνει, εἰς τὸν παράδεισον, διδοὺς αὐτῷ ἀφορμὴν προκοπῆς, ὅπως αὐξάνων καὶ τέλειος γενόμενος, ἔτι δὲ καὶ θεὸς ἀναδειχθεὶς, οὕτω καὶ εἰς οὐρανὸν ἀναβῇ (μέσος γὰρ ὁ ἄνθρωπος ἐγεγόνει, οὔτε θνητὸς ὁλοσχερῶς, οὔτε ἀθάνατος τὸ καθόλου, δεκτικὸς δὲ ἑκατέρων. οὕτω καὶ τὸ χωρίον ὁ παράδεισος, ὡς πρὸς καλλονὴν, μέσος τοῦ κόσμου καὶ τοῦ οὐρανοῦ γεγένηται) ἔχων ἀϊδιότητα [1]. τῷ δὲ εἰπεῖν, ἐργάζεσθε, οὐκ ἄλλην τινὰ ἐργασίαν δηλοῖ, ἀλλ' ἢ τὸ φυλάσσειν τὴν ἐντολὴν τοῦ Θεοῦ, ὅπως μὴ παρακούσας ἀπολέσῃ ἑαυτὸν, καθὼς καὶ ἀπώλεσε διὰ ἁμαρτίας.

§ 25. Τὸ μὲν ξύλον τὸ τῆς γνώσεως αὐτὸ μὲν καλὸν, καὶ ὁ κάρπος αὐτοῦ καλός. οὐ γὰρ ὡς οἴονταί τινες, θάνατον εἶχε τὸ ξύλον, ἀλλ' ἡ παρακοή. οὐ γάρ τι ἕτερον ἦν ἐν τῷ καρπῷ ἢ μόνον γνῶσις. ἡ δὲ γνῶσις καλὴ, ἐπὰν αὐτῇ οἰκείως τις χρήσηται. τῇ δὲ οὔσῃ ἡλικίᾳ ὁ Ἀδὰμ ἔτι νήπιος ἦν [2], διὸ οὔπω ἠδύνατο τὴν γνῶσιν κατ' ἀξίαν χωρεῖν. καὶ γὰρ νῦν, ἐπὰν γενηθῇ παιδίον, οὐκ ἤδη δύναται ἄρτον ἐσθίειν, ἀλλὰ πρῶτον γάλακτι ἀνατρέφεται, ἔπειτα κατὰ πρόσβασιν τῆς ἡλι-

---

[1] *ἔχων ἀϊδιότητα.*] Hæc verba cum *ἀναβῇ* esse conjungenda monuit Ed. Bened.

alter Tigris, alter Euphrates vocatur, nobis certo cogniti sunt; sunt enim nostris regionibus vicini. Cum autem posuisset Deus hominem, ut prædiximus, in paradiso, ut operaretur et custodiret eum, præcepit ei ut de omnibus fructibus comederet, et de ipso videlicet vitæ arbore; de solo autem scientiæ ligno interdixit ne gustaret. Illum autem transtulit Deus de terra ex qua factus erat, in paradisum, initio ei dato, ex quo profectus, auctus, et perfectus, insuper etiam Deus declaratus, sic in cœlum ascenderet, nactus æternitatem. Medius enim factus erat homo nec omnino mortalis, nec prorsus immortalis, sed capax utriusque. Sic quoque paradisus, quantum ad pulcritudinem, medius inter cœlum et terram factus est. Quod autem ait Scriptura *operamini*, non aliam operam significat, quam mandati divini custodiam, ne dicto non obtemperans seipsum perderet, quemadmodum et perdidit propter peccatum.

§ 25. Bonum quidem erat ipsum scientiæ lignum, bonusque illius fructus. Neque enim, ut quidam opinantur, mortem habuit lignum, sed inobedientia. Aliud enim non erat in ligno nisi scientia; bona autem scientia, si quis ea apte utatur. Ætate autem Adam adhuc infans erat; quapropter nondum idoneus erat qui scientiam perciperet. Nam et nunc infans, cum genitus fuerit, nondum potest

---

[2] ὁ Ἀδὰμ ἔτι νήπιος ἦν.] Idem opinati sunt Irenæus III. 22; IV. 38. et Clemens Alex. Strom. III. 17.

κίας καὶ ἐπὶ τὴν στερεὰν τροφὴν[1] ἔρχεται. οὕτως ἂν ἐγεγόνει καὶ τῷ Ἀδάμ. διὸ οὐχ ὡς φθονῶν αὐτῷ ὁ Θεὸς, ὡς οἴονταί τινες, ἐκέλευσε μὴ ἐσθίειν ἀπὸ τῆς γνώσεως. ἔτι μὴν καὶ ἐβούλετο δοκιμάσαι αὐτὸν, εἰ ὑπήκοος γίνεται τῇ ἐντολῇ αὐτοῦ· ἅμα δὲ καὶ ἐπὶ πλείονα χρόνον ἐβούλετο ἁπλοῦν καὶ ἀκέραιον διαμεῖναι τὸν ἄνθρωπον νηπιάζοντα. τοῦτο γὰρ ὅσιόν ἐστιν, οὐ μόνον παρὰ Θεῷ, ἀλλὰ καὶ παρὰ ἀνθρώποις, τὸ ἐν ἁπλότητι καὶ ἀκακίᾳ ὑποτάσσεσθαι τοῖς γονεῦσιν. εἰ δὲ χρὴ τὰ τέκνα τοῖς γονεῦσιν ὑποτάσσεσθαι, πόσῳ μᾶλλον τῷ Θεῷ καὶ πατρὶ τῶν ὅλων; ἔτι μὴν καὶ ἄσχημόν ἐστι τὰ παιδία τὰ νήπια ὑπὲρ ἡλικίαν φρονεῖν. καθάπερ γὰρ τῇ ἡλικίᾳ τις προβαίνει ἐν τάξει αὔξει, οὕτω καὶ ἐν τῷ φρονεῖν. ἀλλ᾽ ὥστε ἐπὰν νόμος κελεύσῃ ἀπέχεσθαι ἀπό τινος, καὶ μὴ ὑπακούῃ τις, δηλονότι οὐχ ὁ νόμος κόλασιν παρέχει, ἀλλὰ ἡ ἀπείθεια καὶ ἡ παρακοή. καὶ γὰρ πατὴρ ἰδίῳ τέκνῳ ἐνίοτε προστάσσει ἀπέχεσθαί τινων, καὶ ἐπὰν οὐχ ὑπακούῃ τῇ πατρικῇ ἐντολῇ, δέρεται καὶ ἐπιτιμίας τυγχάνει διὰ τὴν παρακοήν. καὶ οὐκ ἤδη αὐτὰ τὰ πράγματα πληγαί εἰσιν, ἀλλ᾽ ἡ παρακοὴ τῷ ἀπειθοῦντι ὕβριν περιποιεῖται. οὕτω καὶ τῷ πρωτοπλάστῳ ἡ παρακοὴ περιεποιήσατο ἐκβληθῆναι αὐτὸν ἐκ τοῦ παραδείσου· οὐ μέντοι γε ὡς κακοῦ τι ἔχοντος τοῦ ξύλου τῆς γνώσεως, διὰ δὲ τῆς παρακοῆς ὁ ἄνθρωπος ἐξήντλησε πόνον, ὀδύνην, λύπην, καὶ τὸ τέλος ὑπὸ θάνατον ἔπεσε[2].

§ 26. Καὶ τοῦτο δὲ ὁ Θεὸς μεγάλην εὐεργεσίαν[3]

---

1 τὴν στερεὰν τροφήν.] Heb. v. 12. χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς.

2 ἐξήντλησε . . . ἔπεσε.] Respicere videtur Theophilus locum Ciceronis Tusc. Disp. I. 49. "Profecto fuit quædam vis, quæ generi consuleret humano; nec id gigneret aut aleret, quod cum

panem edere, sed primum lacte nutritur, deinde progrediente ætate etiam ad solidum cibum accedit. Idem quoque Adamo evenisset: quapropter non invidens ei Deus, ut quidam existimant, interdixit ne de ligno scientiæ comederet. Quinetiam volebat hominem experiri, an dicto obtemperare vellet. Simul volebat diutius hominem simplicem et sincerum permanere, quasi puerum. Hoc enim sanctum non solum apud Deum, sed etiam apud homines, in simplicitate et innocentia subjici parentibus. Quod si pueri submissi esse parentibus debent, quanto magis parenti omnium Deo? Præterea indecorum est pueros infantes plus sapere quam ætas postulat. Sicut enim ætas incrementum sumit paulatim, sic etiam prudentia. Sed cum lex jusserit abstineri ab aliqua re, si quis non pareat, jam pœnam non lex verum hominum inobedientia gignit. Nam et pater aliquando filio suo edicit, ut a nonnullis rebus abstineat; quod si paterno mandato non paret, vapulat pœnamque inobedientiæ luit. Nec jam res ipsæ sunt verberum causa, sed inobedientia immorigero contumeliam affert. Sic primo homini mandati transgressio causæ erat, ut e paradiso ejiceretur; non quod mali aliquid inesset ligno scientiæ, sed propter peccatum homo exhausit labores, dolores, molestias, denique mortem subiit.

§ 26. At Deus maximum beneficium homini præstitit,

---

exanclavisset omnes labores, tum *incideret* in mortis malum sempiternum." Ubi vide Davisii notam eruditam.

3 *μεγάλην εὐεργεσίαν.*] Cf. Iren. III. 23. 6. "Ejecit eum de

πάρεσχε τῷ ἀνθρώπῳ, τὸ μὴ διαμεῖναι αὐτὸν εἰς τὸν αἰῶνα ἐν ἁμαρτίᾳ ὄντα, ἀλλὰ τρόπῳ τινὶ ἐν ὁμοιώματι ἐξορισμοῦ ἐξέβαλεν αὐτὸν ἐκ τοῦ παραδείσου, ὅπως διὰ τῆς ἐπιτιμίας τακτῷ ἀποτίσας χρόνῳ τὴν ἁμαρτίαν, καὶ παιδευθεὶς, ἐξ ὑστέρου ἀνακληθῇ. διὸ καὶ πλασθέντος ἀνθρώπου ἐν τῷ κόσμῳ τούτῳ, μυστηριωδῶς ἐν τῇ Γενέσει γέγραπται, ὡς δὶς[1] αὐτοῦ ἐν τῷ παραδείσῳ τεθέντος· ἵνα τὸ μὲν ἅπαξ ᾖ πεπληρωμένον ὁπότε ἐτέθη· τὸ δὲ δεύτερον μέλλει πληροῦσθαι μετὰ τὴν ἀνάστασιν καὶ κρίσιν. οὐ μὴν ἀλλὰ καὶ καθάπερ σκεῦός τι, ἐπὰν πλασθὲν αἰτίαν τινὰ σχῇ, ἀναχωνεύεται ἢ ἀναπλάσσεται, εἰς τὸ γενέσθαι καινὸν καὶ ὁλόκληρον· οὕτω γίνεται καὶ τῷ ἀνθρώπῳ διὰ θανάτου. δυνάμει[2] γὰρ τέθραυσται, ἵνα ἐν τῇ ἀναστάσει ὑγιὴς εὑρεθῇ· λέγω δὲ ἄσπιλος καὶ δίκαιος καὶ ἀθάνατος. τὸ δὲ καλέσαι καὶ εἰπεῖν τὸν Θεὸν, ποῦ εἶ Ἀδάμ; οὐχ ὡς ἀγνοῶν[3] τοῦτο ἐποίει ὁ Θεὸς, ἀλλὰ μακρόθυμος ὢν ἀφορμὴν ἐδίδου αὐτῷ μετανοίας καὶ ἐξομολογήσεως.

§ 27. Ἀλλὰ φήσει οὖν τις ἡμῖν, θνητὸς φύσει ἐγένετο ὁ ἄνθρωπος; οὐδαμῶς. τί οὖν ἀθάνατος; οὐδὲ τοῦτο φαμέν. ἀλλὰ ἐρεῖ τις, οὐδὲν οὖν ἐγένετο; οὐδὲ τοῦτο. ἐγὼ μὲν, οὔτε οὖν φύσει θνητὸς ἐγένετο οὔτε ἀθάνατος. εἰ γὰρ ἀθάνατον αὐτὸν ἀπ' ἀρχῆς ἐπεποιήκει, θεὸν αὐτὸν ἐπεποιήκει. πάλιν εἰ θνητὸν αὐτὸν ἐπεποιήκει, ἐδόκει ἂν

---

paradiso, et a ligno vitæ longe transtulit; non invidens ei lignum vitæ, quemadmodum quidam audent dicere, sed miserans ejus, ut non perseveraret semper transgressor, neque immortale esset quod esset circa eum peccatum, et malum interminabile et insanabile. Prohibuit autem ejus transgressionem, interponens mortem, et cessare faciens peccatum, finem inferens ei per carnis resolutio-

cavendo ne in æternum obstrictus peccatis maneret: sed exilii specie eum ejecit paradiso, ut peccato intra certum tempus per hanc pœnam expiato, post castigationem revocaretur. Quare cum homo in hoc mundo creatus esset, res in Genesi cum mysterio narratur, quasi bis in paradiso collocatus fuisset; ita ut semel quidem id impletum fuerit, cum ibi collocatus est, alterum autem adimplendum sit post resurrectionem et judicium. Quinetiam sicut vas, si postquam confectum fuerit vitii aliquid habeat, refunditur et refingitur, ut novum et integrum fiat; idem homini mors affert, quodam enim modo confringitur, ut sanus in resurrectione inveniatur; id est mundus justus immortalis. Quod autem Deus Adamum vocat et ait; *Adam ubi es?* non quod ignoraret ita faciebat, sed quia admodum patiens est, locum ei dabat pœnitentiæ et confessionis.

§ 27. Sed nobis dicet aliquis; Natura mortalis factus est homo? Minime. Num immortalis? Nihilo magis. Nihil ergo erat? Nec hoc ipsum. Aio ego, nec natura fuit mortalis neque immortalis. Nam si immortalem eum ab initio fecisset, Deum eum fecisset; si mortalem, videretur Deus

---

nem, quæ fieret in terra; uti cessans aliquando homo vivere peccato, et moriens ei, inciperet vivere Deo."

[1] *ὡς δίς.*] scil. Gen. ii. 8 et 15.

[2] *δυνάμει.*] *quodammodo;* ut supr. § 15.

[3] *οὐχ ὡς ἀγνοῶν.*] Similiter Tertull. adv. Marcion. II. 25. "Interrogabat Deus tanquam incertus . . . . ut daret illi locum sponte confitendi delictum et hoc nomine relevandi." (Bened.)

ὁ Θεὸς αἴτιος[1] εἶναι τοῦ θανάτου αὐτοῦ. οὔτε οὖν ἀθάνατον αὐτὸν ἐποίησεν, οὔτε μὴν θνητὸν, ἀλλὰ καθὼς ἐπάνω προειρήκαμεν, δεκτικὸν ἀμφοτέρων· ἵνα εἰ ῥέψῃ ἐπὶ τὰ τῆς ἀθανασίας τηρήσας τὴν ἐντολὴν τοῦ Θεοῦ, μισθὸν κομίσηται παρ' αὐτοῦ τὴν ἀθανασίαν, καὶ γένηται θεός· εἰ δ' αὖ τραπῇ ἐπὶ τὰ τοῦ θανάτου πράγματα, παρακούσας τοῦ Θεοῦ, αὐτὸς ἑαυτῷ αἴτιος ᾖ τοῦ θανάτου. ἐλεύθερον γὰρ καὶ αὐτεξούσιον ἐποίησεν ὁ Θεὸς ἄνθρωπον. ὃ οὖν ἑαυτῷ περιεποιήσατο δι' ἀμελείας καὶ παρακοῆς, τοῦτο ὁ Θεὸς αὐτῷ νυνὶ δωρεῖται διὰ ἰδίας φιλανθρωπίας καὶ ἐλεημοσύνης, ὑπακούοντος αὐτῷ τοῦ ἀνθρώπου[2]. καθάπερ γὰρ παρακούσας ἄνθρωπος θάνατον ἑαυτῷ ἐπεσπάσατο, οὕτως ὑπακούσας τῷ θελήματι τοῦ Θεοῦ ὁ βουλόμενος δύναται περιποιήσασθαι ἑαυτῷ τὴν αἰώνιον ζωήν. ἔδωκε γὰρ ὁ Θεὸς ἡμῖν νόμον καὶ ἐντολὰς ἁγίας· ἃς πᾶς ὁ ποιήσας δύναται σωθῆναι, καὶ τῆς ἀναστάσεως τυχὼν κληρονομῆσαι τὴν ἀφθαρσίαν[3].

§ 28. Ἐκβληθεὶς δὲ Ἀδὰμ ἐκ τοῦ παραδείσου οὕτως ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, ἣν ὁ Θεὸς ἐποίησεν αὐτῷ εἰς γυναῖκα ἐκ τῆς πλευρᾶς αὐτοῦ. καὶ τοῦτο δὲ οὐχ ὡς μὴ δυνάμενος κατ' ἰδίαν πλάσαι τὴν γυναῖκα αὐτοῦ, ἀλλὰ προηπίστατο ὁ Θεὸς ὅτι ἤμελλον οἱ ἄνθρωποι πληθὺν θεῶν ὀνομάζειν. προγνώστης οὖν ὤν, καὶ εἰδὼς ὅτι ἡ πλάνη ἤμελλε διὰ τοῦ ὄφεως ὀνομάζειν πληθὺν θεῶν τῶν οὐκ ὄντων· ἑνὸς γὰρ ὄντος Θεοῦ, ἐκτότε ἤδη ἐμελέτα ἡ πλάνη πληθὺν θεῶν ὑποσπείρειν, καὶ λέγειν, ἔσεσθε ὡς θεοί· μήπως οὖν ὑπονοηθῇ ὅτι ὅδε μὲν ὁ

[1] ὁ Θεὸς αἴτιος.] Ita loquitur Theophilus, ut occurrat hæreticis, qui fingebant Deum esse mortis auctorem.

[2] ὑπακούοντος . . . ἀνθρώπου.] Ita emendavi pro ὑπακούοντας . . .

auctor ei mortis esse. Itaque neque immortalem nec mortalem fecit, sed ut supra diximus, capacem utriusque: ut si, servato Dei mandato, ad immortalia inclinaret, mercedem reciperet immortalitatem et deus fieret; sin autem, Deo non obediens, ad mortis opera deflecteret, sibi ipsi auctor mortis esset. Liberum enim et sui juris creavit Deus hominem. Quod igitur sibi ipse negligentia et inobedientia accersiverat, id ei nunc Deus redonat pro sua humanitate et misericordia, si homo ipsi obediat. Sicut enim homo non obediendo mortem sibi contraxit; ita obediendo Dei voluntati potest quicunque voluerit æternam sibi vitam conciliare. Legem enim Deus et sancta nobis præcepta dedit; quæ si quis servaverit, potest salutem assequi, et resurgens immortalitatem nancisci.

§ 28. Ejectus igitur Adam ex paradiso, sic cognovit uxorem suam, quam ei Deus uxorem ex ipsius costa fecerat. Atque id quidem non quod separatim ejus uxorem facere non posset, sed providebat Deus multitudinem deorum ab hominibus inductum iri. Cum igitur præscius futurorum esset, et futurum videret, ut serpentis opera multitudinem deorum non existentium error inveheret: (nam licet unus sit Deus, jam meditabatur error multitudinem deorum spargere et dicere; *Eritis sicut dii*) ne quis igitur suspi-

---

ἀνθρώπους. Quæ lectio cum manifeste prava esset, legebat Wolfius *ὑπακούοντας αὐτῷ ποιῶν τ. α.* Ed. Bened. *εἰς ὑπακούοντας κ.τ.λ.*

3 *κληρονομῆσαι τὴν ἀφθαρσίαν.*] 1 Cor. xv. 50.

Θεὸς ἐποίησε τὸν ἄνδρα, ἕτερος δὲ τὴν γυναῖκα, διὰ τοῦτο οὖν ἐποίησε τοὺς δύο ἄμφω. οὐ μόνον ἵνα[1] καὶ διὰ τούτου δειχθῇ τὸ μυστήριον τῆς μοναρχίας τῆς κατὰ τὸν Θεόν· ἅμα δ' ἐποίησεν ὁ Θεὸς τὴν γυναῖκα αὐτοῦ[2], καὶ ἵνα πλείων ᾖ ἡ εὔνοια εἰς αὐτούς. πρὸς μὲν οὖν τὴν Εὔαν ὁ Ἀδὰμ εἶπε· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. ἔτι καὶ προεφήτευσε, λέγων· τούτου ἕνεκεν καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· ὃ δὴ καὶ αὐτὸ δείκνυται τελειούμενον ἐν ἡμῖν αὐτοῖς. τίς γὰρ ὁ νομίμως γαμῶν οὐ καταφρονεῖ μητρὸς καὶ πατρὸς καὶ πάσης συγγενείας, καὶ πάντων τῶν οἰκείων, προσκολλώμενος καὶ ἑνούμενος τῇ ἑαυτοῦ γυναικὶ, εὐνοῶν μᾶλλον αὐτῇ; διὸ καὶ μέχρι θανάτου πολλάκις ὑπεύθυνοι γίνονταί τινες διὰ τὰς ἑαυτῶν γαμετάς. ταύτην τὴν Εὔαν διὰ τὸ ἀρχῆθεν πλανηθῆναι ὑπὸ τοῦ ὄφεως, καὶ ἀρχηγὸν ἁμαρτίας γεγονέναι, ὁ κακοποιὸς δαίμων, ὁ καὶ Σατὰν καλούμενος, ὁ τότε διὰ τοῦ ὄφεως λαλήσας αὐτῇ, ἕως καὶ τοῦ δεῦρο ἐνεργῶν ἐν τοῖς ἐνθουσιαζομένοις ὑπ' αὐτοῦ ἀνθρώποις, Εὔαν ἐκκαλεῖται[3]. δαίμων δὲ καὶ δράκων καλεῖται, διὰ τὸ ἀποδεδρακέναι αὐτὸν ἀπὸ τοῦ Θεοῦ· ἄγγελος γὰρ ἦν ἐν πρώτοις. καὶ τὰ μὲν περὶ τούτου πολὺς ὁ λόγος, διὸ τανῦν παραπέμπομαι τὴν περὶ αὐτῶν διήγησιν· καὶ γὰρ ἐν ἑτέροις ἡμῖν γεγένηται ὁ περὶ αὐτοῦ λόγος.

---

1 *οὐ μόνον ἵνα.*] Ita legendum putavi pro *οὐ μὴν ἀλλα,* ex monitu editoris Bened.

2 *τὴν γυναῖκα αὐτοῦ.*] Post hæc sequebatur olim clausula quæ infra legitur fere iisdem verbis, *καὶ ἔσονται οἱ δύο . . . συγγενείας πάσης καὶ πάντων;* quæ cum sensum turbaret et paulo post repete-

caretur virum ab altero Deo, mulierem ab altero factam esse, ipse utrumque fecit; non solum ut ex hac etiam re mysterium monarchiæ Dei demonstraretur, sed Deus simul fecit ejus uxorem, ut major esset inter eos benevolentia. Dixit ergo Adam ad Evam *Hoc nunc os ex ossibus meis, et caro ex carne mea.* Præterea vaticinatus est in hunc modum; *Propterea derelinquet homo patrem suum et matrem et adhærebit uxori suæ eruntque duo in carnem unam:* quod ipsum in nobis perfici patet. Quis est enim, qui cum legitime nubat, non contemnat patrem et matrem et cognationem omnem et propinquos, adhærens et conjunctus uxori eamque majore benevolentia complectens? Unde etiam nonnulli multa vitæ discrimina propter uxores suas adeunt. Quoniam autem hæc Eva antiquitus a serpente decepta, et origo peccati fuit, dæmon maleficus, qui et Satanas vocatur, ac tum eam per serpentem allocutus est, atque adhuc operatus in hominibus a se correptis, Evam vocat. Dæmon autem et draco vocatur, *ἀπὸ τοῦ δεδρακέναι*, quia fugitivus est a Deo: angelus enim ab initio fuerat. Ac de eo quidem longa est oratio; quapropter ejus rei explicationem jam missam facio; alibi enim de ea disputavimus.

---

retur, merito a Wolfio e textu excisa est.

[3] Εὔαν ἐκκαλεῖται.] i. e. Evam invocari facit in orgiis Bacchi. Ita Clem. Alex. Protrept. *ἐπολολύζοντες Εὔαν, Εὔαν ἐκείνην, δι' ἧς ἡ πλάνη παρηκολούθησε.* Evan inter Bacchi nomina memorat Ovid. Met. IV. 15. "Nyctileusque, Eleleusque parens et Iacchus et Evan."

§ 29. Ἐν τῷ οὖν γνῶναι τὸν Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ Εὔαν, συλλαβοῦσα ἔτεκεν υἱὸν, ᾧ τοὔνομα Κάϊν, καὶ εἶπεν· ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ. καὶ προσέθετο ἔτι τεκεῖν δεύτερον, ᾧ ὄνομα Ἄβελ, ὃς ἤρξατο ποιμὴν εἶναι προβάτων· Κάϊν δὲ εἰργάζετο τὴν γῆν. τὰ μὲν οὖν κατ᾽ αὐτοὺς πλείω ἔχει τὴν ἱστορίαν, οὐ μὴν ἀλλὰ καὶ τὴν οἰκονομίαν τῆς ἐξηγήσεως. διὸ τὰ τῆς ἱστορίας τοὺς φιλομαθεῖς δύναται ἀκριβέστερον διδάξαι αὐτὴ ἡ βίβλος, ἥτις ἐπιγράφεται Γένεσις κόσμου. ὁπότε οὖν ἐθεάσατο ὁ Σατανᾶς οὐ μόνον τὸν Ἀδὰμ καὶ τὴν γυναῖκα αὐτοῦ ζῶντας, ἀλλὰ καὶ τέκνα πεποιηκότας, ἐφ᾽ ᾧ οὐκ ἴσχυσε θανατῶσαι αὐτοὺς, φθόνῳ φερόμενος, ἡνίκα ἑώρα τὸν Ἄβελ εὐαρεστοῦντα τῷ Θεῷ, ἐνεργήσας εἰς τὸν ἀδελφὸν αὐτοῦ τὸν καλούμενον Κάϊν, ἐποίησεν ἀποκτεῖναι τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ. καὶ οὕτως ἀρχὴ θανάτου ἐγένετο εἰς τόνδε τὸν κόσμον, ὁδοιπορεῖν ἕως τοῦ δεῦρο ἐπὶ πᾶν γένος ἀνθρώπων. ὁ δὲ Θεὸς ἐλεήμων ὢν, καὶ βουλόμενος ἀφορμὴν μετανοίας καὶ ἐξομολογήσεως παρασχεῖν τῷ Κάϊν, καθάπερ καὶ τῷ Ἀδὰμ[1], εἶπε· ποῦ Ἄβελ ὁ ἀδελφός σου; ὁ δὲ Κάϊν ἀπεκρίθη ἀπειθῶς τῷ Θεῷ, εἰπών· οὐ γινώσκω· μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου; οὕτως ὀργισθεὶς αὐτῷ ὁ Θεὸς ἔφη· τί ἐποίησας τοῦτο; φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς, ἣ ἔχανε δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ χειρός σου· στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς. ἐκτότε φοβηθεῖσα ἡ γῆ οὐκέτι[2] ἀνθρώπου αἷμα παραδέχεται, ἀλλ᾽ οὐδέ τινος ζώου. ᾗ φανερὸν ὅτι οὐκ ἔστιν αὐτὴ αἰτία, ἀλλ᾽ ὁ παραβὰς ἄνθρωπος.

---

[1] *καθάπερ καὶ τῷ Ἀδάμ.*] Vid. sup. § 26.

§ 29. Cum igitur Adam cognovit Evam uxorem suam, concepit ista et filium peperit, cui nomen Cain, et dixit; *Possedi hominem per Deum.* Adhuc addidit ut alterum pareret, cui nomen Abel; *Hic cœpit esse pastor ovium; Cain autem terram colebat.* Sed longior est historia quæ ad illos spectat, atque ampliorem narrandi rationem postulat: quare discendi cupidos accuratius potest de hac historia edocere liber ipse qui Genesis mundi inscribitur. Satanas igitur ut Adamum et uxorem ejus vidit non solum vivere, sed etiam liberos procreasse, invidia stimulatus quod mortem illis inferre non potuisset, tum cum Abelem videret Deo placere, ipsius fratrem, nomine Cainum, impulit ut fratrem suum occideret. Ab his initiis in hunc mundum inducta mors, totum hactenus genus humanum pervadit. Deus autem cum misericors sit, et sicut Adamo, sic etiam Caino occasionem pœnitentiæ et confessionis præbere vellet, ita eum allocutus est: *Ubi est Abel frater tuus?* Cain autem contumaciter respondit Deo: *Nescio; num ego custos sum fratris mei?* Hinc iratus Deus; *Quare*, inquit, *hoc fecisti? Vox sanguinis fratris tui clamat ad me de terra, quæ aperuit os suum ut susciperet sanguinem fratris tui de manu tua. Gemens et tremens eris in terra.* Ex hoc tempore terra, terrore perculsa, nullius jam hominis sanguinem suscipit, sed nec ullius animalis. Profecto patet culpam non in ea residere, sed in homine præceptum transgrediente.

---

2 οὐκέτι κ.τ.λ.] Sanguis emissus statim coagulatur, nec terram facile subit. (Fell.)

§ 30. Ὁ οὖν Κάϊν καὶ αὐτὸς ἔσχεν υἱὸν ᾧ ὄνομα Ἐνώχ. καὶ ᾠκοδόμησε πόλιν, ἣν ἐπωνόμασεν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνώχ. ἀπὸ τότε ἀρχὴ ἐγένετο τοῦ οἰκοδομεῖσθαι πόλεις, καὶ τοῦτο πρὸ κατακλυσμοῦ· οὐχ ὡς Ὅμηρος ψεύδεται λέγων·

Οὐ γάρ πω[1] πεπόλιστο πόλις μερόπων ἀνθρώπων.

τῷ δὲ Ἐνὼχ ἐγεννήθη υἱὸς ὀνόματι Γαϊδὰδ, ὃς ἐγέννησε τὸν καλούμενον Μεὴλ, καὶ Μεὴλ τὸν Μαθουσάλα, καὶ Μαθουσάλα τὸν Λάμεχ. ὁ δὲ Λάμεχ ἔλαβεν ἑαυτῷ δύο γυναῖκας, αἷς ὀνόματα Ἀδᾶ καὶ Σελᾶ. ἐκτότε ἀρχὴ ἐγένετο τῆς πολυμιξίας, ἀλλὰ καὶ τῆς μουσικῆς. τῷ γὰρ Λάμεχ ἐγένοντο τρεῖς υἱοὶ, Ὠβὴλ, Ἰουβὰλ, Θοβέλ. καὶ ὁ μὲν Ὠβὴλ ἐγένετο ἀνὴρ ἐν σκηναῖς κτηνοτροφῶν. Ἰουβὰλ δέ ἐστιν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν. Θοβὲλ δὲ ἐγένετο σφυροκόπος, χαλκεὺς χαλκοῦ καὶ σιδήρου. ἕως μὲν οὖν τούτου ἔσχε τὸν κατάλογον τὸ σπέρμα τοῦ Κάϊν· καὶ τὸ λοιπὸν εἰς λήθην αὐτοῦ γέγονε τὸ σπέρμα τῆς γενεαλογίας, διὰ τὸ ἀδελφοκτονῆσαι αὐτὸν τὸν ἀδελφόν. εἰς τὸν τόπον δὲ τοῦ Ἄβελ, ἔδωκεν ὁ Θεὸς συλλαβεῖν τὴν Εὔαν καὶ τεκεῖν υἱὸν, ὃς κέκληται Σήθ· ἀφ' οὗ τὸ λοιπὸν γένος τῶν ἀνθρώπων ὁδεύει μέχρι τοῦ δεῦρο. τοῖς δὲ βουλομένοις φιλομαθέσι, καὶ περὶ πασῶν τῶν γενεῶν εὔκολόν ἐστιν ἐπιδεῖξαι διὰ τῶν ἁγίων γραφῶν. καὶ γὰρ ἐκ μέρους ἡμῖν γεγένηται ἤδη λόγος ἐν ἑτέρῳ λόγῳ, ὡς ἐπάνω προειρήκαμεν, τῆς γενεαλογίας ἡ τάξις ἐν τῇ πρώτῃ βίβλῳ τῇ περὶ ἱστοριῶν. ταῦτα δὲ πάντα ἡμᾶς διδάσκει τὸ πνεῦμα τὸ

---

[1] Οὐ γάρ πω κ.τ.λ.] Respicit noster Il. Υ. 216.

ἐπεὶ οὔπω Ἴλιος ἱρὴ
Ἐν πεδίῳ πεπόλιστο, πόλις μερόπων ἀνθρώπων.

§ 30. Ipse quoque Cain filium habuit, cui nomen Enoch, atque urbem ædificavit, quam de nomine filii sui Enoch appellavit. Hoc initium erat urbium ædificandarum; non ut Homerus mentitur, ita canens;

Turba loquax hominum nondum construxerat urbes.

Genuit Enoch filium nomine Gaidad, a quo genitus est Meel; a Meel Mathusala, a Mathusala Lamech. Lamech autem duas sibi uxores accepit, quarum nomina Ada et Sela. Jam tum initium habuit uxorum multitudo, atque ipsa etiam musica. Nam Lamech tres natos habuit, quorum nomina Obel, Jubal, Thobel. Atque Obel quidem vir fuit in tabernaculis pecus nutriens. Jubal autem is est qui psalterium et citharam monstravit. Thobel fuit faber æris et ferri. Hactenus igitur recensetur Caini genus: reliquam autem ejus progeniem, eo quod fratrem suum occidisset, oblivio delevit. In locum autem Abelis dedit Deus Evæ ut conciperet et pareret filium, qui Seth appellatus est, a quo reliquum hominum genus hactenus propagatur. Omnes autem generationes si pernoscere voluerint qui discendi sunt cupidi, facile est eas ex Scripturis sacris demonstrare. Jam enim, ut ante diximus, a nobis aliqua ex parte sermo factus est, nempe genealogiæ series in primo de historiis libro. Hæc autem omnia docuit nos Spiritus Sanctus,

---

Videtur nostrum fefellisse memoria, quia Homerus hic non de origine urbium structarum in universum, sed de Troja sigillatim disserit. (Wolf.)

ἅγιον, τὸ διὰ Μωσέως καὶ τῶν λοιπῶν προφητῶν, ὥστε τὰ καθ' ἡμᾶς τοὺς θεοσεβεῖς ἀρχαιότερα γράμματα τυγχάνει, οὐ μὴν ἀλλὰ καὶ ἀληθέστερα πάντων συγγραφέων καὶ ποιητῶν δείκνυται ὄντα. ἀλλὰ μὴν καὶ τὰ περὶ τῆς μουσικῆς ἐφλυάρησάν τινες εὑρετὴν Ἀπόλλωνα γεγενῆσθαι· ἄλλοι δὲ Ὀρφέα ἀπὸ τῆς τῶν ὀρνέων ἡδυφωνίας φασὶν ἐξευρηκέναι τὴν μουσικήν. κένος δὲ καὶ μάταιος ὁ λόγος αὐτῶν δείκνυται· μετὰ γὰρ πολλὰ ἔτη τοῦ κατακλυσμοῦ οὗτοι ἐγένοντο. τὰ δὲ περὶ τοῦ Νῶε, ὃς κέκληται ὑπὸ ἐνίων Δευκαλίων, ἐν τῇ βίβλῳ ᾗ προειρήκαμεν ἡ διήγησις ἡμῖν γεγένηται· ᾗ εἰ βούλῃ καὶ σὺ δύνασαι ἐντυχεῖν.

§ 31. Μετὰ τὸν κατακλυσμὸν[1] ἀρχὴ πάλιν ἐγένετο πόλεων καὶ βασιλέων, τὸν τρόπον τοῦτον. πρώτη πόλις Βαβυλὼν, καὶ Ὀρὲχ, καὶ Ἀρχὰθ, καὶ Χαλανὴ ἐν τῇ γῇ Σεναάρ. καὶ βασιλεὺς ἐγένετο αὐτῶν ὀνόματι Νεβρώθ. ἐκ τούτων ἐξῆλθεν ὀνόματι Ἀσσοὺρ, ὅθεν καὶ Ἀσσύριοι προσαγορεύονται. Νεβρὼθ δὲ ᾠκοδόμησε πόλεις τὴν Νινευὶ, καὶ τὴν Ῥοβοὼμ, καὶ τὴν Καλὰκ, καὶ τὴν Δασὲν ἀνὰ μέσον Νινευὶ καὶ ἀνὰ μέσον Καλάκ. ἡ δὲ Νινευὶ ἐγενήθη ἐν πρώτοις πόλις μεγάλη. ἕτερος δὲ υἱὸς τοῦ Σὴμ υἱοῦ τοῦ Νῶε ὀνόματι Μεσραεὶμ ἐγέννησε τοὺς Λουδονεὶν, καὶ τοὺς καλουμένους Ἐνεμιγεὶν, καὶ τοὺς Λαβιεὶμ, καὶ τοὺς Νεφθαλεὶμ, καὶ τοὺς Πατροσωνιεὶμ, καὶ τοὺς Χασλωνιεὶν, ὅθεν ἐξῆλθε Φυλιστιείμ. τῶν μὲν οὖν τριῶν υἱῶν τοῦ Νῶε, καὶ τῆς συντελείας αὐτῶν καὶ γενεαλογίας, ἐγένετο ἡμῖν ὁ κατάλογος ἐν ἐπιτομῇ ἐν ᾗ προειρήκαμεν βίβλῳ. καὶ νῦν δὲ τὰ παραλελειμμένα ἐπιμνησθησόμεθα περί τε πόλεων καὶ βασιλέων, τῶν τε γεγενημένων ὁπότε ἦν χεῖλος ἓν καὶ μία γλῶσσα. πρὸ

qui per Moysen et ceteros prophetas locutus est; ita ut nostræ, qui Deum colimus, literæ omnibus scriptoribus et poetis antiquiores sint, necnon etiam veriores. Musicæ autem inventorem Apollinem fuisse nonnulli nugati sunt, alii Orphea, suaves avium cantus imitantem. Vana autem et inanis eorum opinio demonstratur; hi enim multis post diluvium annis extiterunt. De rebus autem Noe, qui Deucalion a nonnullis vocatur, enarratio a nobis in eo quem diximus libro habita est, quam potes tu quoque inspicere si velis.

§ 31. Post diluvium initium rursus urbium et regum ortum est in hunc modum. Prima urbs Babylon, tum Orech, Archat, et Chalane in terra Senaar. Harum rex extitit nomine Nebroth. Ex his prodiit is qui Assur vocatur, unde dicti Assyrii. Nebroth autem ædificavit urbes Ninive et Roboom et Calac et Dasen, quæ inter Niniven et Calac sita est. Ninive autem urbs fuit imprimis magna. Semi autem, filii Noe, filius alter nomine Mesraim genuit populos qui vocantur Laudonim, Enemigim, Labiim, Nephtalim, Patrosonim, unde editus Philistiim. Tres igitur Noe filios eorumque exitum et genealogiam summatim recensuimus in eo quem diximus libro. Nunc autem quæ supersunt memorabimus, tum de urbibus et regibus, tum de iis quæ gesta sunt cum unum labium erat ac lingua

---

[1] Μετὰ τὸν κατακλυσμὸν κ.τ.λ.] Vid. Gen. x. 10, etc.

τοῦ τὰς διαλέκτους μερισθῆναι, αὗται αἱ προγεγραμμέναι ἐγενήθησαν πόλεις. ἐν δὲ τῷ μέλλειν αὐτοὺς διαμερίζεσθαι, συμβούλιον ἐποίησαν γνώμῃ ἰδίᾳ, καὶ οὐ διὰ Θεοῦ, οἰκοδομῆσαι πόλιν καὶ πύργον, οὗ ἡ ἄκρα φθάσῃ εἰς τὸν οὐρανὸν ἀφικέσθαι, ὅπως ποιήσωσιν ἑαυτοῖς ὄνομα δόξης. ἐπειδὴ οὖν παρὰ προαίρεσιν Θεοῦ βαρὺ ἔργον ἐτόλμησαν ποιῆσαι, κατέβαλεν αὐτῶν ὁ Θεὸς τὴν πόλιν, καὶ τὸν πύργον κατέστρωσεν. ἐκτότε ἐνήλλαξε τὰς γλώσσας τῶν ἀνθρώπων, δοὺς ἑκάστῳ διάφορον διάλεκτον. Σίβυλλα μὲν οὕτω σεσήμαγκε καταγγέλλουσα ὀργὴν τῷ κόσμῳ μέλλειν ἔρχεσθαι. ἔφη δὲ οὕτως·

Ἀλλ' ὁπόταν[1] μεγάλοιο Θεοῦ τελέωνται ἀπειλαὶ,
Ἅς ποτ' ἐπηπείλησε βροτοῖς, ὅτε πύργον ἔτευξαν
Χώρῃ ἐν Ἀσσυρίῃ. ὁμόφωνοι δ' ἦσαν ἅπαντες,
Καὶ βούλοντ' ἀναβῆναι ἐς οὐρανὸν ἀστερόεντα·
Αὐτίκα δ' ἀθάνατος μεγάλην ἐπίθηκεν ἀνάγκην
Πνεύμασιν· αὐτὰρ ἔπειτ' ἄνεμοι μέγαν ὑψόθι πύργον
Ῥίψαν, καὶ θνητοῖσιν ἐπ' ἀλλήλοις ἔριν ὦρσαν.
Αὐτὰρ ἐπεὶ πύργος τ' ἔπεσεν, γλῶσσαί τ' ἀνθρώπων
Εἰς πολλὰς θνητῶν ἐμερίσθησαν διαλέκτους,
Γαῖα βροτῶν πληροῦτο μεριζομένων βασιλήων.

καὶ τὰ ἑξῆς. ταῦτα μὲν οὖν ἐγενήθη ἐν γῇ Χαλδαίων. ἐν δὲ τῇ γῇ Χαναὰν ἐγένετο πόλις, ᾗ ὄνομα Χαῤῥάν. κατ' ἐκείνους δὲ τοὺς χρόνους πρῶτος βασιλεὺς Αἰγύπτου ἐγένετο Φαραὼ, ὃς καὶ Νεχαὼθ κατὰ Αἰγυπτίους ὠνομάσθη, καὶ οὕτως οἱ καθεξῆς βασιλεῖς ἐγένοντο. ἐν δὲ τῇ

---

[1] Ἀλλ' ὁπόταν κ.τ.λ.] Vide Sibyll. Orac. Lib. III. Edit. Gallæi, Vol. I. p. 332. Sibyllam talia cecinisse auctor est etiam Josephus, Ant. Jud. I. 4. et Eusebius de Præp. Ev. IX. 15.

una. Antequam linguæ dividerentur, hæ urbes fuerunt, quas supra descripsimus. Cum autem tempus instaret, ut homines dispergerentur, consilium de sua propria non de Dei sententia ceperunt urbis ædificandæ et turris, cujus caput cœlum attingeret, ut sibi nomen inclytum pararent. Sed quia præter Dei voluntatem grave opus ausi fuerant aggredi, evertit Deus eorum urbem et turrim dejecit. Eo tempore hominum linguas mutavit, data unicuique diversa dialecto. Atque hæc quidem Sibylla declaravit, cum iram mundo eventuram nuntiaret: sic autem locuta est:

Sed postquam pœnas exegit vindice dextra
Omnipotens, quas prædixit mortalibus illis
Qui turrim Assyriis in finibus ædificarunt;
Cum cunctis eadem vox esset, stelliferumque
In cœlum vellent ascendere; nam Deus ausis
Obstitit, immissoque illos cessare coegit
Turbine, dum venti magnam sublime ferentes
Turrim prosternunt, multa et discordia fabros
Exagitat; sed cum cessat labor improbus, atque
Finditur in varias hominum vaga lingua loquelas,
Gentibus impletur, divisis regibus, orbis.

Et quæ sequuntur. Atque hæc quidem gesta sunt in terra Chaldæorum. In terra autem Chanaan urbs fuit nomine Charra. Iis temporibus primus rex Ægypti regnavit Pharao, qui et Nechaoth apud Ægyptios vocatus est; et sic cæteri reges secuti sunt. In terra autem

γῇ Σεναὰρ, ἐν τοῖς καλουμένοις Χαλδαίοις, πρῶτος βασιλεὺς ἐγένετο Ἀριὼχ[1]. μετὰ δὲ τοῦτον ἕτερος Ἐλλάσαρ. καὶ μετὰ τοῦτον Χοδολλαγομὸρ βασιλεὺς Αἰλὰμ, καὶ μετὰ τοῦτον Θαργὰλ βασιλεὺς ἐθνῶν τῶν καλουμένων Ἀσσυρίων. ἄλλαι δὲ πόλεις ἐγένοντο πέντε ἐν τῇ μερίδι τοῦ Χὰμ υἱοῦ Νῶε. πρώτη ἡ καλουμένη Σόδομα. ἔπειτα Γόμοῤῥα, Ἀδαμὰ, καὶ Σεβωεὶμ, καὶ ἡ Σηγὼρ[3] ἐπικληθεῖσα. καὶ τὰ ὀνόματα τῶν βασιλέων αὐτῶν ἐστι ταῦτα· Βαλλὰς βασιλεὺς Σοδόμων, Βαρσὰς βασιλεὺς Γομόῤῥας, Σεναὰρ βασιλεὺς Ἀδαμὰ, Ὕμορ βασιλεὺς Σεβωεὶμ, Βαλὰχ βασιλεὺς Σηγὼρ, τῆς Κεφαλὰκ κεκλημένης. οὗτοι ἐδούλευσαν τῷ Χοδολλαγομὸρ βασιλεῖ τῶν Ἀσσυρίων ἕως ἐτῶν δύο καὶ δέκα. ἐν δὲ τῷ τρισκαιδεκάτῳ ἔτει ἀπὸ τοῦ Χοδολλαγομὸρ ἀπέστησαν· καὶ οὕτως ἐγένετο τότε τοὺς τέσσαρας βασιλεῖς τῶν Ἀσσυρίων συνάψαι πόλεμον πρὸς τοὺς πέντε βασιλεῖς. αὕτη ἀρχὴ ἐγένετο πρώτη τοῦ γίνεσθαι πολέμους ἐπὶ τῆς γῆς. καὶ κατέκοψαν τοὺς γίγαντας Καραναεὶν, καὶ ἔθνη ἰσχυρὰ ἅμα αὐτοῖς ἐν τῇ πόλει, καὶ τοὺς Χοῤῥαίους τοὺς ἐν τοῖς ὄρεσιν ἐπονομαζομένους Σηεὶρ, ἕως τῆς καλουμένης Τερεβίνθου τῆς Φαρὰν, ἥ ἐστὶν ἐν τῇ ἐρήμῳ. κατὰ δὲ τὸν αὐτὸν καιρὸν ἐγένετο βασιλεὺς δίκαιος, ὀνόματι Μελχισεδὲκ[2], ἐν πόλει Σαλὴμ, τῇ νῦν Ἱεροσόλυμα. οὗτος ἱερεὺς ἐγένετο πρῶτος πάντων ἱερέων τοῦ Θεοῦ τοῦ ὑψίστου· ἀπὸ τούτου ἡ πόλις ὠνομάσθη Ἱερουσαλὴμ, ἡ προειρημένη Ἱεροσόλυμα. ἀπὸ τούτου εὑρέθησαν καὶ ἱερεῖς γινόμενοι ἐπὶ πᾶσαν τὴν γῆν. μετὰ δὲ τοῦτον ἐβασίλευσεν Ἀβιμέλεχ

---

1 Ἀριώχ.] Gen. xiv. 1. Vel memoriter Theophilus has Scripturæ historias chartis suis illinebat, vel, quod verisimilius videtur, magna librarii vulnera fecerunt. Nam Arioch ille non primus recensetur a Mose, sed post Amarphel rex Sennaar. (Bened.)

Senaar quam Chaldæi tenebant primus rex fuit Arioch; post quem Ellasar; deinde Chodollagomor rex Ælan, tum Thargal, rex populorum qui dicuntur Assyrii. Quinque aliæ urbes fuerunt in ea parte quam tenuit Cham filius Noe; prima Sodoma, cæteræ Gomorrha, Adama et Seboim et quæ Segor nuncupata est. Nomina regum qui istis urbibus præfuere sic habent; Ballas rex Sodomorum; Barsas rex Gomorrhæ, Sennaar rex Adamæ, Hymor rex Seboim, Balac rex Segor, quæ vocata est etiam Kephalam. Hi servierunt regi Assyriorum Chodollagomor annos duodecim. Anno autem decimo tertio defecerunt ab illo; et quatuor Assyriorum reges cum quinque his regibus bellum gesserunt. Hæc prima origo fuit bellorum in terra, et fregerunt gigantes Caranain, et cum eis in eadem urbe gentes validas et Chorræos qui montes Seir dictos incolebant, usque ad Terebinthum illam, quæ in deserta regione sita Pharan appellatur. Erat illo tempore rex justus nomine Melchisedec in urbe Salem, quæ nunc Hierosolyma. Hic primus fuit omnium sacerdotum Dei altissimi, ab eoque Hierusalem appellata est ea quam paulo ante diximus, Hierosolyma. Ab eodem sacerdotes in toto terrarum orbe extiterunt. Post hunc regnavit Abimelech in Geraris; tum Abimelech alter. Deinde Ephron cognomine Chettæus.

---

[2] *καὶ ἡ Σηγώρ.*] Fortasse legendum *καὶ Βαλάκ, ἡ καὶ Σηγὼρ ἐπικληθεῖσα.* (Vide Gen. xiv. 2.) et paulo post *Βασιλεὺς Σηγὼρ τῆς Βαλὰκ κεκλημένης.*

[3] *Μελχισεδέκ.*] De illo et qui sequuntur regibus, vide Gen. xiv. 18; xx. 2; xxvi. 1; xxiii. 8.

ἐν Γεράροις. μετὰ δὲ τοῦτον ἕτερος Ἀβιμέλεχ. ἔπειτα ἐβασίλευσεν Ἐφρὼν καὶ ὁ Χετταῖος ἐπικληθείς. τὰ μὲν οὖν περὶ τούτων πρότερον γεγενημένων βασιλέων οὕτω τὰ ὀνόματα περιέχει. τῶν δὲ κατὰ Ἀσσυρίους πολλῶν ἐτῶν μεταξὺ οἱ λοιποὶ βασιλεῖς παρεσιγήθησαν τοῦ ἀναγραφῆναι, πάντων ἔσχατον καθ' ἡμᾶς χρόνον[1] ἀπομνημονευόντων. γεγονότες βασιλεῖς τῶν Ἀσσυρίων Θεγλαφάσαρ· μετὰ δὲ τοῦτον Σελαμανάσαρ· εἶτα Σενναχαρείμ. τοῦ δὲ τρίαρχος ἐγένετο Ἀδραμέλεχ Αἰθίοψ, ὃς καὶ Αἰγύπτου ἐβασίλευσε· καίπερ ταῦτα, ὡς πρὸς τὰ ἡμέτερα γράμματα, πάνυ νεώτερά ἐστιν.

§ 32. Ἐντεῦθεν οὖν κατανοεῖν τὰς ἱστορίας ἐστὶ τοῖς φιλομαθέσι καὶ φιλαρχαίοις, εἴπου[2] πρόσφατά ἐστι τὰ ὑφ' ἡμῶν λεγόμενα διὰ τῶν ἁγίων προφητῶν. ὀλίγων γὰρ ὄντων ἐν πρώτοις τῶν τότε ἀνθρώπων ἐν τῇ Ἀραβικῇ γῇ καὶ Χαλδαϊκῇ, μετὰ τὸ διαμερισθῆναι τὰς γλώσσας αὐτῶν, πρὸς μέρος ἤρξαντο πολλοὶ γίνεσθαι καὶ πληθύνεσθαι ἐπὶ πάσης τῆς γῆς· καὶ οἱ μὲν ἔκλιναν οἰκεῖν πρὸς ἀνατολάς, οἱ δὲ ἐπὶ τὰ μέρη τὰ τῆς μεγάλης ἠπείρου, καὶ τὰ πρὸς βόρειον, ὥστε διατείνειν μέχρι τῶν Βριττανῶν ἐν τοῖς Ἀρκτικοῖς κλίμασιν, ἕτεροι δὲ γῆν Χαναναίαν, καὶ Ἰουδαίαν, καὶ Φοινίκην ἐπικληθεῖσαν, καὶ τὰ μέρη τῆς Αἰθιοπίας, καὶ Αἰγύπτου, καὶ Λιβύης, καὶ τὴν καλουμένην διακεκαυμένην, καὶ τὰ μέχρι δυσμῶν κλίματα παρατείνοντα. οἱ δὲ λοιποὶ τὰ ἀπὸ τῆς παραλίου, καὶ τῆς Παμφυλίας, καὶ τὴν Ἀσίαν, καὶ τὴν Ἑλλάδα, καὶ τὴν Μακεδονίαν, καὶ τὸ λοιπὸν τὴν Ἰταλίαν, καὶ τὰς

---

[1] *ἔσχατον καθ' ἡμᾶς χρόνον.*] Ita lego, suadente Bened. Editiones habent *ἐσχάτων . . . χρόνων.*

Primorum igitur regum nomina ita se habent. Cæteri autem Assyriorum reges, qui multis annis interjectis regnarunt, silentio prætermisi, quoniam omnes scriptores propiora ætati nostræ tempora commemorant. Reges autem Assyriorum fuerunt Teglaphasar, et post eum Salmanasar, deinde Sennacherim. Hujus Triarcha fuit Adramelech Æthiops, qui etiam Ægypti regnum obtinuit; quanquam hæc, si cum nostris scriptis comparentur, omnino recentia sunt.

§ 32. Inde igitur judicium de historiis ferre possunt, qui eruditionis et antiquitatis studiosi sunt, an ea, quæ a nobis traduntur per prophetas sanctos, sint nupera. Nam cum his primis temporibus pauci essent homines in Arabia et Chaldæa, postquam divisæ sunt eorum linguæ, paulatim augeri et multiplicari cœperunt in toto terrarum orbe; atque alii quidem ad Orientem incolendum declinarunt, alii ad partes majoris continentis et Septentrionem, ita ut usque ad Britannos pertenderent in Arcticas regiones; alii ad Chananæam regionem et Judæam, et quæ Phœnicia vocata est, et regiones Æthiopiæ Ægypti et Libyæ, et terram quæ torrida dicitur, et quæ ad Occidentem pertinent loca. Reliqui autem partim ad loca quæ a maris litore et Pamphylia porriguntur, atque Asiam, et Græciam et Macedoniam, Italiam etiam, et Gallias, Hispanias, Germanias, ita ut uni-

---

[2] εἶπον.] Conjecturam Lacrorii pro ὅπου, probante Wolfio, recepi.

καλουμένας Γαλλείας καὶ Σπανίας, καὶ Γερμανίας· ὥστε οὕτω τανῦν ἐμπεπλῆσθαι τὴν συμπᾶσαν τῶν κατοικούντων αὐτήν. τριμεροῦς οὖν γεγενημένης τῆς κατοικήσεως τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς καταρχὰς, ἔν τε ἀνατολῇ καὶ μεσημβρίᾳ, καὶ δύσει, ἔπειτα καὶ τὰ λοιπὰ μέρη κατῳκήθη τῆς γῆς, χυδαίων τῶν ἀνθρώπων γενομένων. ταῦτα δὲ μὴ ἐπιστάμενοι οἱ συγγραφεῖς βούλονται τὸν κόσμον σφαιροειδῆ[1] λέγειν, καὶ ὥσπερ κύβῳ συγκρίνειν αὐτόν. πῶς δὲ δύνανται ταῦτα ἀληθῆ φάσκειν, μὴ ἐπιστάμενοι τὴν ποίησιν τοῦ κόσμου, μηδὲ τὴν κατοίκησιν αὐτοῦ; πρὸς μέρος αὐξανομένων τῶν ἀνθρώπων, καὶ πληθυνομένων ἐπὶ τῆς γῆς, ὡς προειρήκαμεν, οὕτω κατῳκήθησαν καὶ αἱ νῆσοι τῆς θαλάσσης, καὶ τὰ λοιπὰ κλίματα.

§ 33. Τίς οὖν πρὸς ταῦτα ἴσχυσε τῶν καλουμένων σοφῶν, καὶ ποιητῶν, ἢ ἱστοριογράφων τὸ ἀληθὲς εἰπεῖν, πολὺ μεταγενεστέρων αὐτῶν γεγενημένων, καὶ πληθὺν θεῶν εἰσαγαγόντων οἵτινες μετὰ τοσαῦτα ἔτη αὐτοὶ ἐγεννήθησαν τῶν πόλεων, ἔσχατοι καὶ τῶν βασιλέων καὶ ἐθνῶν καὶ πολέμων; ἐχρῆν γὰρ αὐτοὺς μεμνῆσθαι πάντων καὶ τῶν πρὸ κατακλυσμοῦ γεγονότων· περί τε κτίσεως κόσμου, καὶ ποιήσεως ἀνθρώπου, τά τε ἑξῆς συμβάντα ἀκριβῶς ἐξειπεῖν τοὺς παρ' Αἰγυπτίοις προφήτας ἢ Χαλδαίους, τούς τε ἄλλους συγγραφεῖς, εἴπερ θείῳ καὶ καθαρῷ πνεύματι ἐλάλησαν, καὶ τὰ δι' αὐτῶν ῥηθέντα ἀληθῆ ἀνήγγειλαν· καὶ οὐ μόνον τὰ προγενόμενα ἢ ἐνεστῶτα, ἀλλὰ καὶ τὰ ἐπερχόμενα τῷ κόσμῳ ἐχρῆν αὐτοὺς προκαταγγεῖλαι. διὸ δείκνυται πάντας τοὺς λοιποὺς πεπλανῆσθαι, μόνους δὲ Χριστιανοὺς τὴν ἀλήθειαν κεχω-

---

[1] σφαιροειδῆ.] Ita opinati sunt Plato, Aristoteles, Strabo,

versa nunc terra incolis impleatur. Cum igitur initio tripartita esset hominum habitatio in terra, ad Orientem, ad Meridiem et Occidentem; postea cæteræ etiam partes incoli cœperunt hominibus redundantibus. Hæc cum ignorent scriptores mundum sphæricum dicere volunt, et cubo comparare. Quî possint autem in his vera dicere, cum ignorent creationem mundi, rationemque qua habitari cœperit? Paulatim crescentibus, ut diximus, et multiplicatis in terra hominibus, maris quoque insulæ et cæteræ regiones incolebantur.

§ 33. Quis igitur ex iis qui sapientes et poetæ et historici dicuntur, verum in his rebus dicere potuit, cum multo posteriores extiterint, ac turbam deorum induxerint qui tot annis post urbes geniti fuere, et regibus et gentibus et bellis juniores sunt? Oportebat enim mentionem ab iis omnium fieri, etiam eorum quæ ante diluvium evenerunt; de mundi origine et hominis formatione, iisque rebus quæ postea consecutæ sunt, accurate Ægyptiorum prophetæ et Chaldæi cæterique scriptores disserere debuerunt, siquidem divino et puro spiritu loquebantur et vera nuntiabant. Nec præterita solum aut præsentia, sed ea etiam quæ mundo eventura erant, prænuntiari ab iis oportebat. Ex quo patet cæteros omnes errasse, Christianos autem solos

---

Cicero, &c., quos vide ap. Cellar. Notit. orb. ant. I. 2.

ρηκέναι, οἵτινες ἀπὸ πνεύματος ἁγίου διδασκόμεθα, τοῦ λαλήσαντος ἐν τοῖς ἁγίοις προφήταις, καὶ τὰ πάντα προκαταγγέλοντος.

§ 34. Καὶ τὸ λοιπὸν ἔστω σοι φιλοφρόνως ἐρευνᾷν τὰ τοῦ Θεοῦ, λέγω δὲ τὰ διὰ τῶν προφητῶν ῥηθέντα, ὅπως συγκρίνας τά τε ὑπὸ ἡμῶν λεγόμενα, καὶ τὰ ὑπὸ τῶν λοιπῶν, δυνήσει εὑρεῖν τὸ ἀληθές. τὰ μὲν οὖν ὀνόματα τῶν καλουμένων θεῶν, ὅτι παρ' αὐτοῖς ὀνόματα ἀνθρώπων εὑρίσκεται, καθὼς ἐν τοῖς ἐπάνω ἐδηλώσαμεν, ἐξ αὐτῶν τῶν ἱστοριῶν ὧν συνέγραψαν, ἀπεδείξαμεν. αἱ δὲ εἰκόνες αὐτῶν τὸ καθ' ἡμέραν ἕως τοῦ δεῦρο ἐκτυποῦνται, εἴδωλα, ἔργα χειρῶν ἀνθρώπων. καὶ τούτοις μὲν λατρεύει τὸ πλῆθος τῶν ματαίων ἀνθρώπων. τὸν δὲ ποιητὴν καὶ δημιουργὸν τῶν ὅλων καὶ τροφέα πάσης πνοῆς ἀθετοῦσι, πειθόμενοι δόγμασι ματαίοις, διὰ πλάνης πατροπαραδότου γνώμης ἀσυνέτου. ὁ μέντοι γε Θεὸς καὶ πατὴρ καὶ κτιστὴς τῶν ὅλων οὐκ ἐγκατέλιπε τὴν ἀνθρωπότητα, ἀλλὰ ἔδωκε νόμον, καὶ ἔπεμψε προφήτας ἁγίους, πρὸς τὸ καταγγεῖλαι καὶ διδάξαι[1] τὸ γένος τῶν ἀνθρώπων, εἰς τὸ ἕνα ἕκαστον ἡμῶν ἀνανῆψαι καὶ ἐπιγνῶναι, ὅτι εἷς ἐστι Θεός· οἳ καὶ ἐδίδαξαν ἀπέχεσθαι ἀπὸ τῆς ἀθεμίτου εἰδωλολατρείας[2], καὶ μοιχείας, καὶ φόνου, πορνείας, κλοπῆς, φιλαργυρίας, ὅρκου ψεύδους, ὀργῆς καὶ πάσης ἀσελγείας καὶ ἀκαθαρσίας· καὶ πάντα ὅσα ἂν μὴ βούληται[3] ἄνθρωπος ἑαυτῷ γίνεσθαι, ἵνα μηδὲ ἄλλῳ ποιῇ, καὶ οὕτως ὁ δικαιοπραγῶν ἐκφύγῃ τὰς αἰωνίους κολάσεις, καὶ καταξιωθῇ τῆς αἰωνίου ζωῆς παρὰ τοῦ Θεοῦ.

---

[1] *διδάξαι.*] Conjecturam Editoris Bened. pro δεῖξαι recipiendam censui.

veritatem apprehendisse; quippe qui a Spiritu Sancto doceantur, qui locutus est in sanctis prophetis atque omnia prænuntiavit.

§ 34. Quod reliquum est, res divinas, id est, ea quæ a prophetis dicta sunt, summo studio scruteris velim, ut comparatione facta illorum quæ a nobis et ab aliis dicuntur, verum invenire possis. Nomina igitur illorum quos deos dicitis, satis apparet ex ipsis historiis nomina hominum esse, ut supra demonstravimus. Hactenus autem eorum imagines quotidie effinguntur, idola, opera manuum hominum. Atque iis quidem cultum adhibet hominum ineptorum multitudo. Creatorem autem et opificem universorum et altorem omnis spiritus nihili faciunt, vanis opinionibus credentes, secuti stultam a patribus traditam sententiam. Deus autem et pater et conditor universorum non deseruit humanum genus; sed legem dedit, et sanctos prophetas misit, qui nuntiarent hominibus et monstrarent, ut quisque nostrum expergefactus unum esse Deum agnosceret. Ab iisdem edocti sumus ut ab infando simulacrorum cultu, ab adulterio, cæde, stupro, furto, avaritia, perjurio, iracundia, lascivia omni et impuritate abstineamus, et quæ sibi quisque fieri nolit, ea alteri ne faciat: quo pacto justitiæ cultor æterna supplicia effugiat, et vitam æternam a Deo consequatur.

---

[2] τῆς ἀθεμίτου εἰδωλολατρείας.] Locutio sumpta ex 1 Pet. iv. 3.
[3] βούληται.] Edd. βούλεται. De sententia vid. Matt. vii. 12.

§ 35. Ὁ μὲν οὖν θεῖος νόμος οὐ μόνον κωλύει τὸ εἰδώλοις προσκυνεῖν· ἀλλὰ καὶ τοῖς στοιχείοις, ἡλίῳ, σελήνῃ, ἢ τοῖς λοιποῖς ἄστροις· ἀλλ' οὔτε τῷ οὐρανῷ, οὔτε γῇ, οὔτε θαλάσσῃ, ἢ πηγαῖς ἢ ποταμοῖς θρησκεύειν, ἀλλ' ἢ μόνῳ τῷ ὄντως Θεῷ καὶ ποιητῇ τῶν ὅλων χρὴ λατρεύειν ἐν ὁσιότητι καρδίας καὶ εἰλικρινεῖ γνώμῃ. διό φησιν ὁ ἅγιος νόμος· οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου. ὁμοίως καὶ οἱ προφῆται· Σολομῶν[1] μὲν οὖν καὶ τὸ διὰ νεύματος μὴ ἁμαρτάνειν διδάσκει ἡμᾶς, λέγων· οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν· τὰ δὲ βλεφαρά σου νευέτω δίκαια. καὶ Μωσῆς δὲ καὶ αὐτὸς προφήτης περὶ μοναρχίας Θεοῦ λέγει· οὗτος ὁ Θεὸς[2] ὑμῶν ὁ στερεῶν τὸν οὐρανὸν, καὶ κτίζων τὴν γῆν, οὗ αἱ χεῖρες κατέδειξαν πᾶσαν τὴν στρατιὰν τοῦ οὐρανοῦ, καὶ οὐ παρέδειξεν ὑμῖν αὐτὰ τοῦ ὀπίσω αὐτῶν πορεύεσθαι. Ἡσαΐας[3] δὲ καὶ αὐτός φησιν· οὕτως λέγει κύριος ὁ Θεὸς, ὁ στερεώσας τὸν οὐρανὸν καὶ θεμελιώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτὴν, οὗτος κύριος ὁ Θεὸς ὑμῶν. καὶ πάλιν δι' αὐτοῦ· ἐγὼ, φησὶν, ἐποίησα γῆν, καὶ ἄνθρωπον ἐπ' αὐτῇ. ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανόν. καὶ ἐν ἑτέρῳ κεφαλαίῳ· οὗτος ὁ Θεὸς ὑμῶν ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, οὐ πεινάσει, οὐδὲ κοπιάσει, οὐδ' ἔστιν ἐξεύρησις τῆς φρονήσεως αὐτοῦ. ὁμοίως καὶ Ἱερεμίας[4], καί φησιν· ὁ ποιήσας τὴν γῆν ἐπὶ τῇ ἰσχύϊ αὐτοῦ, ἀνορθώσας τὴν οἰκουμένην ἐν τῇ

---

1 Σολομῶν.] Prov. iv. 25.

2 οὗτος ὁ Θεὸς κ.τ.λ.] Videtur Theophilus sensum magis quam verba Mosis referre; respicit autem fortasse Deut. iv. 19, ubi astro-

§ 35. Vetat igitur lex divina, non solum simulacra, sed etiam elementa solem lunam ac cæteras stellas adorari, aut cœlo aut terræ, aut mari aut fontibus, aut fluminibus cultum adhiberi; illum autem qui revera Deus est, et universorum conditor, solum cum sancto pectore et sincero animo colendum esse dicit. Quamobrem sancta lex ait: *Non mœchaberis, non occides, non furaberis, non falsum testimonium dices, non concupisces uxorem proximi tui.* Similiter et prophetæ. Salomon ne oculorum quoque obtutu peccandum esse nos docet his verbis: *Oculi tui recta videant; palbebræ tuæ annuant justa.* Moses qui et ipse propheta extitit, de singulari Dei imperio sic loquitur; *Hic Deus vester qui firmat cœlum et condit terram: cujus manus ostenderunt universam militiam cœli: nec ea vobis monstravit ut post ea abiretis.* Ipse etiam Esaias ait: *Sic dicit Dominus Deus qui firmavit cœlum et fundavit terram et quæ in ea, et dat spirationem populo qui super eam, et spiritum calcantibus eam: hic Dominus Deus vester est.* Et rursus per eundem; *Ego*, inquit, *feci terram et hominem super eam. Ego manu firmavi cœlum.* Et in alio capite: *Hic est Deus vester qui construxit extrema terræ; non esuriet, nec fatigabitur; nec est investigatio ejus prudentiæ.* Similiter Jeremias ait: *Qui fecit terram in fortitudine sua; qui erexit orbem in sapientia sua, et*

---

rum cultus prohibetur.

[3] Ἡσαΐας.] cap. xlii. 5; xlv. 12; xl. 28.

[4] Ἱερεμίας.] cap. x. 12; li. 17.

σοφίᾳ αὐτοῦ, καὶ ἐν τῇ φρονήσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανὸν καὶ πλῆθος ὕδατος ἐν οὐρανῷ, καὶ ἀνήγαγε νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησε, καὶ ἐξήγαγεν ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. ὁρᾷν ἔστι, πῶς φίλα καὶ σύμφωνα ἐλάλησαν πάντες οἱ προφῆται, ἑνὶ καὶ τῷ αὐτῷ πνεύματι ἐκφωνήσαντες, περί τε μοναρχίας Θεοῦ, καὶ τῆς τοῦ κόσμου γενέσεως, καὶ τῆς ἀνθρώπου ποιήσεως· οὐ μὴν ἀλλὰ καὶ ὤδιναν, πενθοῦντες τὸ ἄθεον γένος τῶν ἀνθρώπων· καὶ τοὺς δοκοῦντας εἶναι σόφους, διὰ τὴν ἐν αὐτοῖς πλάνην καὶ πώρωσιν τῆς καρδίας, κατῄσχυναν. ὁ μὲν Ἱερεμίας ἔφη· ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως αὐτοῦ· κατῃσχύνθη πᾶς χρυσοχόος ἀπὸ τῶν γλυπτῶν αὐτοῦ· εἰς μάτην ἀργυροκόπος ἀργυροκοπεῖ, οὐκ ἔστι πνεῦμα ἐν αὐτοῖς, ἐν ἡμέρᾳ ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται. τὸ αὐτὸ καὶ ὁ Δαυὶδ[1] λέγει· ἐφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν αὐτῶν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός· πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. ὁμοίως καὶ Ἀββακούκ[2]· τί ὠφελεῖ γλυπτὸν ἄνθρωπον, ὅτι ἔγλυψεν αὐτὸ φαντασίαν ψευδῆ; οὐαὶ τῷ λέγοντι τῷ λίθῳ ἐξεγέρθητι, καὶ τῷ ξύλῳ ὑψώθητι. ὁμοίως εἶπον καὶ οἱ λοιποὶ τῆς ἀληθείας προφῆται. καὶ τί μοι τὸ πλῆθος καταλέγειν τῶν προφητῶν πολλῶν ὄντων, καὶ μυρία φίλα καὶ σύμφωνα εἰρηκότων; οἱ γὰρ βουλόμενοι δύνανται ἐντυχόντες τοῖς δι' αὐτῶν εἰρημένοις ἀκριβῶς γνῶναι τὸ ἀληθὲς, καὶ μὴ παράγεσθαι ὑπὸ διανοίας καὶ ματαιοπονίας. οὗτοι οὖν οὓς προειρήκαμεν προφῆται ἐγένοντο ἐν Ἑβραίοις ἀγράμματοι καὶ ποιμένες καὶ ἰδιῶται.

---

[1] Δαυίδ.] Psalm. xiv. 3.

in prudentia sua extendit cælum et multitudinem aquæ in cælo; et eduxit nubes ab extremo terræ, fulgura in pluviam fecit et eduxit ventos de thesauris suis. Videre est, quam amica inter se et consona omnes prophetæ locuti sunt, uno et eodem spiritu de singulari Dei imperio, mundi origine, et hominis creatione pronuntiantes. Præterea graviter doluere, deplorantes impium mortalium genus; atque eos qui videbantur esse sapientes, propter errores et cæcitatem pectoris opprobriis notaverunt. Jeremias quidem sic loquitur: *Infatuatus est omnis homo a scientia sua, confusus est artifex omnis ob sculptilia sua; frustra argentarius faber laborat; quia non est spiritus in eis, in tempore visitationis suæ interibunt.* Idem dicit David: *Corrupti et abominabiles facti sunt in studiis suis, non est qui faciat bonum, non est usque ad unum. Omnes declinaverunt, simul et inutiles facti sunt.* Similiter Habacuc: *Quid prodest homini sculptile quia sculpsit illud? Formavit illud imaginem falsam: væ qui dicit lapidi expergiscere et ligno elevare.* Similiter locuti sunt cæteri veritatis prophetæ. Et quid enumerem prophetarum multitudinem, qui et multi fuerunt, et plurima dixerunt amica inter se et consona? Possunt enim qui volunt, si eorum dicta consulant, veritatem accurate cognoscere, nec abripi cogitatione et inani opera. Hi igitur quos prædiximus prophetæ apud Hebræos extiterunt, homines illiterati, pastores, et imperiti.

---

[2] Ἀββακούκ.] cap. ii. 18.

§ 36. Σίβυλλα δὲ ἐν Ἕλλησι, καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι γενομένη προφῆτις, ἐν ἀρχῇ τῆς προφητείας αὐτῆς ὀνειδίζει τὸ τῶν ἀνθρώπων γένος λέγουσα·

Ἄνθρωποι[1] θνητοὶ καὶ σάρκινοι, οὐδὲν ἐόντες,
Πῶς ταχέως ὑψοῦσθε, βίου τέλος οὐκ ἐσορῶντες;
Οὐ τρέμετ', οὐδὲ φοβεῖσθε Θεὸν, τὸν ἐπίσκοπον ὑμῶν,
Ὕψιστον, γνώστην, πανεπόπτην, μάρτυρα πάντων,
Παντοτρόφον, κτίστην, ὅστις γλυκὺ πνεῦμ' ἐν ἅπασι
Κάτθετο, χ' ἡγητῆρα βροτῶν πάντων ἐποίησεν;
Εἷς Θεὸς, ὃς μόνος ἄρχει, ὑπερμεγέθης, ἀγένητος,
Παντοκράτωρ, ἀόρατος, ὁρῶν μόνος αὐτὸς ἅπαντα,
Αὐτὸς δ' οὐ βλέπεται θνητῆς ὑπὸ σαρκὸς ἁπάσης.
Τίς γὰρ σὰρξ δύναται τὸν ἐπουράνιον καὶ ἀληθῆ
Ὀφθαλμοῖσιν ἰδεῖν Θεὸν ἄμβροτον, ὃς πόλον οἰκεῖ;
Ἀλλ' οὐδ' ἀκτίνων κατενάντιον ἠελίοιο
Ἄνθρωποι στῆναι δυνατοὶ, θνητοὶ γεγαῶτες
Ἄνδρες, ἐν ὀστήεσσι φλέβες καὶ σάρκες ἐόντες·
Αὐτὸν τὸν μόνον ὄντα σέβεσθ' ἡγήτορα κόσμου,
Ὃς μόνος εἰς αἰῶνα καὶ ἐξ αἰῶνος ἐτέχθη,
Αὐτογενὴς, ἀγένητος, ἅπαντα κρατῶν διαπαντὸς,
Πᾶσι βροτοῖσιν ἐνῶν τὸ κριτήριον ἐν φαῒ κοινῷ.
Τῆς κακοβουλοσύνης δὲ τὸν ἄξιον ἕξετε μισθὸν,
Ὅττι Θεὸν προλιπόντες ἀληθινὸν ἀεναόν τε
Δοξάζειν, αὐτῷ τε θύειν ἱερὰς ἑκατόμβας,
Δαίμοσι τὰς θυσίας ἐποιήσατε τοῖσιν ἐν ᾅδου.
Τύφῳ καὶ μανίῃ δὲ βαδίζετε, καὶ τρίβον ὀρθὴν
Εὐθεῖαν προλιπόντες ἀπήλθετε τὴν δι' ἀκανθῶν

---

[1] Ἄνθρωποι κ.τ.λ.] Vide Sibyll. Orac. Edit. Gallæi, Vol. I. p. 1. Horum quædam a Clemente Alex. citantur, sub titulo vatis Hebræorum quæ Chaldæa et Sambethe dicta (Protrept. p. 8. Sylb. Strom. v. p. 256. III. p. 185): alia a Lactantio adducuntur, Ery-

§ 36. Sibylla autem, quæ apud Græcos et cæteras gentes vates extitit, in principio prophetiæ suæ ita in humanum genus invehitur:

Mortales homines, vilissima pondera carnis,
Cur vos effertis, neque finem cernitis ævi?
Non tremitis, summumque Deum (qui præsidet alte)
Non formidatis? qui conspicit omnia testis
Arbiter atque opifex rerum, dulcemque benignus
Indidit afflatum, mortales qui regat omnes:
Unus qui solus regnat Deus atque supremus
Omnipotens, nunquam genitus, qui conspicit ipse
Omnia, mortali non aspectabilis ulli.
Corporeis oculis etenim quis cernere verum
Æternumque Deum possit cœlumque colentem?
Cum neque flammantis radiantia lumina solis
Sustineant homines mortales cernere contra,
Ossibus et venis et carnibus ædificati.
Hunc colite, hunc unum qui solus regnat in orbe
Qui solus semperque fuit, semperque futurus,
Non genitus, per se constans, tenet omnia semper,
Et viget in cunctis, sanctumque tribunal in imis
Pectoribus statuit, communis luminis auctor.
Præmia sed pravæ mentis digna accipietis;
Quandoquidem æternoque Deo veroque relicto,
Cui decus et sacro debetur victima ritu,
Manibus infernis fecistis sacra superbi.
Insanique via recta veraque relicta,

---

thrææ assignata; his vero antiquior Justinus versum qui hic est septimus, una cum sequentibus aliquot laudans in Cohort. ad Gr. I. 16. illam appellat *τὴν ἀρχαίαν καὶ σφόδρα παλαιὰν Σίβυλλαν, ἧς καὶ* Πλάτων *καὶ Ἀριστοφανὴς καὶ ἕτεροι πλείους ὡς χρησμῳδοῦ μέμνηνται.* (Fell.)

Καὶ σκολόπων· τί πλανᾶσθε; βροτοὶ παύσασθε μάταιοι
Καὶ λίπετε σκοτίην νυκτὸς, φωτὸς δὲ λάβεσθε·
Οὗτος ἰδοὺ πάντεσσι σαφὴς ἀπλάνητος ὑπάρχει.
Ἔλθετε, μὴ σκοτίην δὲ διώκετε καὶ γνόφον αἰεὶ,
Ἠελίου γλυκυδερκὲς ἰδοὺ φάος ἔξοχα λάμπει.
Γνῶτε δὲ κατθέμενοι σοφίην ἐν στήθεσιν ὑμῶν·
Εἷς Θεός ἐστι, βροχὰς, ἀνέμους, σεισμοὺς ἐπιπέμπων,
Ἀστεροπὰς, λιμοὺς, λοιμοὺς καὶ κήδεα λυγρὰ,
Καὶ νιφετοὺς, κρύσταλλα. τί δὴ καθ' ἓν ἐξαγορεύω;
Οὐρανοῦ ἡγεῖται, γαίης κρατεῖ, αὐτὸς ὑπάρχει.

καὶ πρὸς τοὺς γενητοὺς λεγομένους ἔφη·

Εἰ δὲ γενητὸν ὅλως καὶ φθείρεται, οὐ δύνατ' ἀνδρὸς
Ἐκ μηρῶν μήτρας τε Θεὸς τετυπωμένος εἶναι.
Ἀλλὰ Θεὸς μόνος εἷς πανυπέρτατος, ὃς πεποίηκεν
Οὐρανὸν ἠέλιόν τε, καὶ ἀστέρας, ἠδὲ σελήνην,
Καρποφόρον γαῖάν τε, καὶ ὕδατος οἴδματα πόντου,
Οὔρεά θ' ὑψήεντα, καὶ ἀέναα χεύματα πηγῶν·
Τῶν τ' ἐνύδρων πάλι γεννᾷ ἀνήριθμον πολὺ πλῆθος·
Ἑρπετὰ δ' ἐκ γαίης κινούμενα ψυχροτροφεῖ τε,
Ποικίλα τε κτηνῶν λιγυροθρόα, τραυλίζοντα,
Ξουθὰ λιγυπτερόφωνα, ταράσσοντ' ἀέρα ταρσοῖς·
Ἐν δὲ νάπαις ὀρέων ἀγρίαν γένναν θέτο θηρῶν·
Ἡμῖν τε κτήνη ὑπέταξεν πάντα βροτοῖσιν,
Πάντων δ' ἡγητῆρα κατέστησεν θεότευκτον,
Ἀνδρὶ δ' ὑπαὶ τάξεν παμποίκιλα κ' οὐ κατάληπτα.
Τίς γὰρ σὰρξ δύναται θνητῶν γνῶναι τάδ' ἅπαντα;
Ἀλλ' αὐτὸς μόνος οἶδεν ὁ ποιήσας τάδ' ἀπ' ἀρχῆς,
Ἄφθαρτος, κτίστης, αἰώνιος, αἰθέρα ναίων,
Τοῖς ἀγαθοῖς ἀγαθὸν προφέρων πολὺ πλείονα μισθὸν,

Erratis per iter scopulis et sentibus horrens.
Desinite in tetræ noctis titubare tenebris,
Vani mortales; missa caligine, lucem
Carpite; quippe Deus Lumen patet omnibus ipse.
Quare agite immemores tenebrarum quærite tandem
Egregium jubar et ridentia lumina solis.
Atque hoc pectoribus sapienter condite vestris:
Hic Deus est pluvias mittens, terræque tremores,
Ventos atque fames, pestes et tristia damna,
Atque nives, glaciemque; at quorsum singula pando?
Imperat hic cœlis et terræ præsidet; ipse est.

De iis autem qui geniti dicuntur, sic locuta est:

Quod genitum est, fatum subit usque; femurque virile
Femineusque uterus nequeunt producere numen.
Sed Deus est unus solus, rerumque supremus,
Qui cœlum solum stellas lunamque creavit,
Frugiferam terram pontique fluenta tumentis,
Excelsos montes fontesque perenne scatentes,
Et sub aquis degens genus innumerabile gignit,
Quæque premunt terram serpentia corpora nutrit,
Et varias volucres, seu balbas sive canoras,
Stridentes, teneras, sulcantes aera pennis;
Et genus imposuit sylvis agreste ferarum,
Subjecitque pecus nobis mortalibus omne,
Cunctorumque ducem fecit divinitus ortum,
Subjecitque viro quæ vel comprendere non sit.
Hæc quis enim valeat mortalis noscere cuncta?
Ipse sed hæc novit solus, qui condidit unus.
Rerum opifex, sine fine, æternus in æthere degens,
Et multo majora bonis bona præmia reddens,

Τοῖς δὲ κακοῖς ἀδίκοις τε χόλον καὶ θυμὸν ἐγείρων,
Καὶ πόλεμον, καὶ λοιμὸν, ἢ ἄλγεα δακρυόεντα.
Ἄνθρωποι τί μάτην ὑψούμενοι ἐκριζοῦσθε [1];
Αἰσχυνθῆτε γαλᾶς καὶ κνώδαλα θειοποιοῦντες.
Οὐ μανίη καὶ λύσσα φρενῶν καὶ ἐτώσια βάρη [2],
Εἰ λοπάδας κλέπτουσι θεοὶ, συλοῦσι δὲ χύτρας;
Ἀντὶ δὲ χρυσήεντα πόλον κατὰ πίονα ναίειν
Σητόβρωτα δέδορκε [3], πυκναῖς δ' ἀράχναις δεδίασται.
Προσκυνέοντες ὄφεις, κύνας, αἰλούρους ἀνόητοι,
Καὶ πετεεινὰ σέβεσθε, καὶ ἑρπετὰ θηρία γαίης
Καὶ λίθινα ξόανα, καὶ ἀγάλματα χειροποίητα,
Κὰν παρόδοισι λίθων συγχώματα [4]· ταῦτα σέβεσθε,
Ἄλλα τε πολλὰ μάταια, ἃ δὴ κ' αἰσχρὸν ἀγορεύειν·
Καί γε θεοὶ μερόπων δολοήτορές εἰσιν ἀβούλων,
Τῶν δὴ κὰκ στόματος χεῖται θανατηφόρος ἰός.
Οὗ δ' ἔστι ζωή τε καὶ ἄφθιτον ἀέναον φῶς,
Καὶ μέλιτος γλυκεροῦ γλυκερώτερον ἀνδράσι χάρμα
Ἐκπροχέῃ· τῷ δὴ [5] μόνῳ αὐχένα κάμπτε.
Καὶ τρίβον αἰώνεσσιν ἐν εὐσεβέεσσ' ἀνάκλινε.
Ταῦτα λιπόντες ἅπαντα, δίκης μεστόν τε κύπελλον
Ζωρότερον, στιβαρὸν, βεβαρημένον, εὖ μάλ' ἄκρητον
Εἱλκύσατ' ἀφροσύνῃσι μεμηνότι πνεύματι πάντες,
Κοὐ θέλετ' ἐκνῆψαι καὶ σώφρονα πρὸς νόον ἐλθεῖν,
Καὶ γνῶναι βασιλῆα Θεὸν, τὸν πάντ' ἐφορῶντα.
Τοὔνεκεν αἰθομένοιο πυρὸς σέλας ἔρχετ' ἐφ' ὑμᾶς,

---

1 *ἐκριζοῦσθε.*] Gallæus *ἐκροιζοῦσθε.*

2 *ἐτώσια βάρη.*] Lectionem codicis Bodl. *ἐστησια φάρη* varie emendant editores.

3 *Σητόβρωτα δέδορκε.*] Sc. *ὁ θεός.* "Oculorum aciem habet vermibus exesam"; ut Aristoph. Ran. 1336. *φόνια δερκόμενον, truculenta tuentem.* Profecto statuæ deorum ligneæ fiebant vermium

Injustosque malosque ira pœnisque coercens,
Immittens bellum pestem tristesque dolores.
Heu frustra sublati homines, radice cadentes!
Non pudet in Divos feles et bruta referre?
Annon est rabies, cæcæque insania mentis?
Si dii furantur lances, prædantur et ollas,
Quemque poli rutilas sedes habitare deceret,
Hunc caries densisque infestat aranea telis.
Serpentes colitis stulti felesque canesque,
Et volucres et quæ serpunt animalia terræ;
Et fabricata manu simulacra et saxea signa;
Et passim lapidum moles. Hæc vanaque multa
Præterea colitis, quæ sunt turpissima dictu.
Talia sunt hominum stultorum numina falsa,
Quorum mortiferum distillat ab ore venenum.
At cujus vita est, cujus lux illa perennis,
Lætitia unde viris dimanat dulcior omni
Melle, Deum flexâ colito cervice supremum.
Sic tibi cœlestis patefiet semita vitæ.
His tamen omissis, ingentia pocula, dirâ
Noxia vindictâ, puroque repleta meraco
Ducitis insani furiosis mentibus omnes:
Nec juvat exuto torpore evadere sanos
Et novisse Deum regem, qui cuncta tuetur.
Propterea fervens ignis vos opprimet usque,

---

aranearumque deliciæ. δεδίασται, *telis aranearum prætexitur;* a διάζομαι, *telam incipere.*

[4] λίθων συγχώματα.] i.e. ἕρμακες, sive lapidum congeries in triviis in honorem Mercurii collocatæ; vide supra.

[5] τῷ δὴ κ.τ.λ.] Fortasse legendum τῷ δὴ σὺ μόνῳ τέον αὐχένα κάμπτε.

Λαμπάσι καυθήσεσθε δι' αἰῶνος, τὸ πανῆμαρ,
Ψεύδεσιν αἰσχυνθέντες ἐπ' εἰδώλοισιν ἀχρήστοις.
Οἱ δὲ Θεὸν τιμῶντες ἀληθινὸν, ἀέναόν τε,
Ζωὴν κληρονομοῦσι τὸν αἰῶνος χρόνον, αὐτοὶ
Οἰκοῦντες παραδείσου ὁμῶς ἐριθηλέα κῆπον,
Δαινύμενοι γλυκὺν ἄρτον ἀπ' οὐρανοῦ ἀστερόεντος.

ὅτι μὲν οὖν ταῦτα ἀληθῆ καὶ ὠφέλιμα καὶ δίκαια καὶ προσφιλῆ πᾶσιν ἀνθρώποις τυγχάνει, δῆλόν ἐστι· καὶ ὅτι οἱ κακῶς δράσαντες ἀναγκαίως ἔχουσι κατ' ἀξίαν τῶν πράξεων κολασθῆναι.

§ 37. Ἤδη δὲ καὶ τῶν ποιητῶν τινες ὡσπερεὶ λόγια ἑαυτοῖς ἐξείποντο, καὶ εἰς μαρτύριον τοῖς τὰ ἄδικα πράσσουσι λέγοντες ὅτι μέλλουσι κολάζεσθαι. Αἰσχύλος ἔφη·

Δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται.

Πίνδαρος δὲ καὶ αὐτὸς ἔφη·

Ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.

ὡσαύτως καὶ Εὐριπίδης·

Ἀνέχου πάσχων, δρῶν γὰρ ἔχαιρες·
Νόμος τὸν ἐχθρὸν δρᾷν, ὅπου λάβῃς, κακῶς.

καὶ πάλιν ὁ αὐτός·

Ἐχθρὸν κακῶς δρᾷν ἀνδρὸς ἡγοῦμαι μέρος.

ὁμοίως καὶ Ἀρχίλοχος·

Ἓν δ' ἐπίσταμαι μέγα,
Τὸν κακῶς τι δρῶντα δεινοῖς ἀνταμείβεσθαι κακοῖς.

καὶ ὅτι ὁ Θεὸς τὰ πάντα ἐφορᾷ, καὶ οὐδὲν αὐτὸν λανθάνει, μακρόθυμος δὲ ὢν ἀνέχεται ἕως οὗ μέλλει κρίνειν, καὶ περὶ τούτου Διονύσιος εἴρηκεν·

Nocte dieque furens flammæ insatiabilis ardor,
Sculptilium cultu teritis quod turpiter ævum.
At quibus æternus colitur Deus atque perennis,
Hi vitam degent quæ tempus in omne manebit,
Floriferos hortos paradisi semper habentes,
Et dulcem comedent panem stellantis Olympi.

Hæc igitur vera et utilia et justa et amica omnibus hominibus esse perspicuum est; et qui male fecerint, necessario pro meritis actionum puniri.

§ 37. Quinetiam poetarum nonnulli futurum veluti oraculo quodam pronuntiarunt, tum in seipsos, tum in eos qui inique faciunt testimonium dicentes. Æschylus dixit:

Nam qui patravit aliquid hunc decet pati.

Ipse etiam Pindarus dicit:

Namque facientem aliquid æquum est pati.

Similiter et Euripides:

Patere haud iniquus; feceras enim lubens.
Lex est in hostem ut sævias, si ceperis.

Et rursus idem:

Hosti nocere fortis arbitror viri.

Similiter et Archilochus:

Unum esse novi maximum, si quid mali
Inflixerit quis, gnaviter rependere.

Quod autem Deus omnia videt, nec eum quidquam latet, sed cum patiens sit expectat dum judicet, ea quoque de re Dionysius dixit:

Ὁ τῆς δίκης ὀφθαλμὸς ὡς δι' ἡσύχου
Λεύσσων προσώπου πάνθ' ὁμῶς[1] ἀεὶ βλέπει.

καὶ ὅτι μέλλει ἡ τοῦ Θεοῦ κρίσις γίνεσθαι, καὶ τὰ κακὰ τοὺς πονηροὺς αἰφνιδίως καταλαμβάνειν, καὶ τοῦτο Αἰσχύλος ἐσήμανε, λέγων·

Τό τοι[2] κακὸν ποδῶκες ἔρχεται βροτοῖς,
Καὶ τἀμπλάκημα τῷ περῶντι τὴν Θέμιν.
Ὁρᾷς δίκην ἄναυδον οὐχ ὁρωμένην,
Εὕδοντι, καὶ στείχοντι, καὶ καθημένῳ·
Ἑξῆς ὀπάζει δόχμιον, ἄλλοθ' ὕστερον·
Οὐκ ἐγκαλύπτει νὺξ κακῶς εἰργασμένον.
Ὅτι δ' ἂν ποιῇς δεινὸν, νόμιζ' ὁρᾷν τινά.

τί δ' οὐχὶ καὶ ὁ Σιμωνίδης;

Οὐκ ἔστ' ἀνεπιδόκητον ἀνθρώποις κακὸν,
Ὀλίγῳ χρόνῳ δὲ πᾶν μεταῤῥίπτει Θεός.

πάλιν Εὐριπίδης·

Οὐδέποτ'[3] εὐτυχίην κακοῦ ἀνδρὸς, ὑπέρφρονα δ' ὄλβον
Βέβαιον εἰκάσαι χρεὼν,
Οὐδ' ἀδίκων γενέαν.
Ὁ γὰρ οὐδενὸς ἐκφὺς χρόνος
Δείκνυσιν ἀνθρώπων κακότητας.

ἔτι ὁ Εὐριπίδης·

Οὐ γὰρ[4] ἀσύνετον τὸ θεῖον, ἀλλ' ἔχει συνιέναι
Τοὺς κακῶς παγέντας ὅρκους καὶ συνηναγκασμένους.

---

[1] *πάνθ' ὁμῶς κ.τ.λ.*] Ita emendavit feliciter Canterus a Wolfio citatus pro *πανὸς ὀμόσαι εἰ βλέπει.*

[2] *τό τοι κ.τ.λ.*] In his plura sunt minime Æschylea (Dindorf. Fragm. Æschyl. incerta).

Justitiæ oculus etsi videtur leniter
Spectare, semper prospicit tamen omnia.

Futurum autem Dei judicium, atque improbos mala ex improviso deprehensura, Æschylus significavit, his verbis:

Haud tarda gressu hominibus ingruunt mala,
Theminque tristis pœna deserentibus.
Invisam et absque voce justitiam vides,
At sive dormis, sive eas, seu sederis,
Obliqua sequitur proxime, interdum eminus:
Nullumque prorsus nox nefas celaverit.
Si prave agas quid, esse qui cernat puta.

An non etiam Simonides?

Haud ulla præter spem accidunt homini mala,
Horæque momento omnia evertit Deus.

Rursus Euripides:

Qui malus est, ejus fortunam resque secundas
Mox esse casuras puta;
Sic et malorum filios.
Parente nam tempus carens
Demonstrat hominum crimina.

Rursus Euripides:

Non enim Deus
Prudentiæ expers, sed valet cognoscere
Qui prava jurant, quique sponte non sua.

---

[3] οὐδέποτ' κ.τ.λ.] Hæc vide inter Fragm. Eur. Bellerophontis ap. Dindorf.

[4] οὐ γὰρ κ.τ.λ.] Eur. Iph. A. 394. (Dindorf.)

καὶ ὁ Σοφοκλῆς·

Εἰ δειν' ἔδρασας[1], δεινὰ καὶ παθεῖν σε δεῖ.

Ἤτοι οὖν περὶ ἀδίκου ὅρκου, ἢ καὶ περὶ ἄλλου τινὸς πταίσματος, ὅτι μέλλει ὁ Θεὸς ἐξετάζειν, καὶ αὐτοὶ σχέδον προειρήκασιν· ἢ καὶ περὶ ἐκπυρώσεως κόσμου, θέλοντες καὶ μὴ θέλοντες, ἀκόλουθα ἐξεῖπον τοῖς προφήταις, καίπερ πολὺ μεταγενέστεροι γενόμενοι, καὶ κλέψαντες ταῦτα ἐκ νόμου καὶ τῶν προφητῶν.

§ 38. Καὶ τί γάρ, ἤτε ἔσχατοι ἢ καὶ πρῶτοι ἐγένοντο; πλὴν ὅτι γοῦν καὶ αὐτοὶ ἀκόλουθα τοῖς προφήταις εἶπον. περὶ μὲν οὖν ἐκπυρώσεως Μαλαχίας[2] ὁ προφήτης προείρηκεν· ἰδοὺ ἡμέρα ἔρχεται Κυρίου ὡς κλίβανος καιόμενος, καὶ ἀνάψει πάντας τοὺς ἀσεβεῖς. καὶ Ἡσαΐας[3]· ἥξει γὰρ ὀργὴ Θεοῦ ὡς χάλαζα συγκαταφερομένη βίᾳ, καὶ ὡς ὕδωρ σύρον ἐν φάραγγι. τοίνυν Σίβυλλα καὶ οἱ λοιποὶ προφῆται, ἀλλὰ μὴν καὶ οἱ ποιηταὶ, καὶ φιλόσοφοι, καὶ δεδηλώκασιν περὶ δικαιοσύνης, καὶ κρίσεως καὶ κολάσεως· ἔτι μὴν καὶ περὶ προνοίας, ὅτι[4] φροντίζει ὁ Θεὸς οὐ μόνον τῶν ζώντων ἡμῶν, ἀλλὰ καὶ τῶν τεθνεώτων, καίπερ ἄκοντες ἔφασαν· ἠλέγχοντο γὰρ ὑπὸ τῆς ἀληθείας. καὶ τῶν μὲν προφητῶν, Σολομῶν[5] περὶ τῶν τεθνηκότων εἶπεν· ἔσται ἴασις ταῖς σαρξὶ, καὶ ἐπιμέλεια τῶν ὀστέων. τὸ δ' αὐτὸ καὶ Δαυίδ[6]· ἀγαλλιάσεται ὄστεα τεταπεινωμένα. τούτοις ἀκόλουθα εἴρηκε καὶ Τιμοκλῆς λέγων·

---

[1] εἰ δειν' ἔδρασας.] Hæc ita leguntur ap. Stobæ. Ecl. phys. I. 3. 48.

[2] Μαλαχίας.] cap. iv. 1.

[3] Ἡσαΐας.] cap. xxx. 30, 28 ap. LXX.

Et Sophocles:

Æquum est patrantem dira, tantumdem pati.

Cum ergo de iniquo jurejurando et alio quovis peccato inquisiturum Deum iidem pene prædixerunt, tum etiam de mundi conflagratione volentes nolentes consentanea prophetis dixerunt, quamvis multo juniores natu fuerint, atque ex lege et prophetis hæc suffurati sunt.

§ 38. Sed quid refert utrum posteriores an priores fuerint? Certe consentanea prophetis ipsi quoque dixerunt. De mundi conflagratione Malachias propheta sic prædixit: *Ecce dies Domini venit ut clibanus ardens, et incendet omnes impios.* Et Esaias: *Veniet enim ira Dei ut grando ruens impetu, et ut aqua trahens in convalle.* Sibylla igitur et reliqui prophetæ, sed et poetæ, et philosophi et de justitia et judicio et supplicio pronuntiaverunt; atque etiam de providentia, Deum nostri curam gerere, non solum viventium sed etiam mortuorum, vel inviti dixerunt; vincebantur enim a veritate. Atque ex prophetis quidem Salomon sic loquitur de mortuis: *Erit sanatio carnibus et curatio ossium.* Similiter et David: *Exultabunt ossa humiliata.* His consentanea Timocles:

---

4 *ὅτι.*] Vocem *ὅτι* inserui, et *ἄκοντες* pro *ἅπαντες* scripsi; utrumque ex monitu Ed. Bened.

5 *Σολομῶν.*] Prov. iii. 8.

6 *Δαυίδ.*] Psal. l. 10. ap. LXX.

Τεθνεῶσιν ἔλεος ἐπιεικὴς θεός.

καὶ περὶ πλήθους οὖν θεῶν οἱ συγγραφεῖς εἰπόντες κατῆλθον εἰς μοναρχίαν, καὶ περὶ ἀπρονοησίας λέγοντες εἶπον περὶ προνοίας, καὶ περὶ ἀκρισίας φάσκοντες ὡμολόγησαν ἔσεσθαι κρίσιν, καὶ οἱ μετὰ θάνατον ἀρνούμενοι εἶναι αἴσθησιν, ὡμολόγησαν. Ὅμηρος[1] μὲν οὖν εἰπών·

Ψυχὴ ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται,

ἐν ἑτέρῳ λέγει·

Ψυχὴ δ' ἐκ ῥεθέων πταμένη ἄϊδος δὲ βεβήκει.

καὶ πάλιν·

Θάπτε με ὅττι τάχιστα πύλας ἀΐδαο περήσω.

τὰ δὲ περὶ τῶν λοιπῶν οὓς ἀνέγνωκας, ἡγοῦμαί σε ἀκριβῶς ἐπίστασθαι ᾧ τρόπῳ εἰρήκασι. ταῦτα δὲ πάντα συνήσει πᾶς ὁ ζητῶν τὴν σοφίαν τοῦ Θεοῦ, καὶ εὐαρεστῶν αὐτῷ διὰ πίστεως καὶ δικαιοσύνης καὶ ἀγαθοεργίας. καὶ γάρ τις εἶπε προφήτης ὧν προεγράψαμεν ὀνόματι Ὠσηέ[2]· τίς σόφος καὶ συνήσει ταῦτα; συνετὸς καὶ γνώσεται; ὅτι εὐθεῖαι αἱ ὁδοὶ τοῦ κυρίου, καὶ δίκαιοι εἰσελεύσονται ἐν αὐταῖς· οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν αὐταῖς· χρὴ οὖν τὸν φιλομαθῆ καὶ φιλομαθεῖν[3]. πειράθητι οὖν πυκνότερον συμβαλεῖν[4], ὅπως καὶ ζώσης ἀκούσας φωνῆς ἀκριβῶς μάθῃς τἀληθές.

---

1 Ὅμηρος.] Od. Λ. 221; Il. Π. 856; Χ. 362; Ψ. 71.

2 Ὠσηέ.] cap. xiv. 9.

3 φιλομαθεῖν.] Legendum conjicit Wolfius πολυμαθεῖν, vel pro

Urna repostos respicit clemens Deus.

Qui autem scriptores deorum multitudinem asseruerunt, hi ad monarchiam devenerunt; et qui providentiam et judicium negarunt, providentiam et judicium confessi sunt; et qui sensum post mortem nullum esse admiserunt, sensum superesse confessi sunt. Homerus igitur cum dixisset;

Anima instar somnii avolavit,

alibi dixit:

Anima ex membris avolans ad inferos descendit;

et alibi:

Sepelito me, ut quam primum portas Plutonis transeam.

De cæteris quos legisti, accurate cognitum tibi esse arbitror, quomodo disseruerint. Hæc omnia intelliget quisquis sapientiam Dei quærit, eique per fidem et justitiam et bona opera placet. Dixit enim aliquis ex prophetis, quos supra memoravimus, nomine Osee; *Quis sapiens et intelliget hæc, prudens et cognoscet? quoniam rectæ viæ Domini, et justi ambulabunt in eis; impii autem infirmabuntur in eis.* Oportet igitur ut qui discendi cupidus est libenter discat; proinde operam da ut sæpius mecum sermones conferas, ut viva voce audita veritatem accurate percipias.

φιλομαθῆ, πολυμαθῆ; quemadmodum Isocrates ad Demonicum ait *ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ πολυμαθής.*

[4] *συμβαλεῖν.*] Eodem sensu Lib. III. 1.

ANALYSIS

LIBRI TERTII AD AUTOLYCUM.

Tertia hac disputatione Autolycum aggreditur Theophilus, ac (§ 1) sibi propositum esse declarat, antiquitatem Scripturarum nostrarum breviter ei ab origine repetitam ante oculos ponere, ut tandem aliquando intelligat scriptores quorum admiratione tenebatur, nullius esse pretii. Nam (§ 2) nec suis ipsi oculis viderunt quæ literis mandant, nec ab his qui viderunt didicere. Nec (§ 3) solum inter se, sed etiam secum ipsi litigant, ac deos esse nunc asserunt, nunc negant: providentiam defendunt, ac mox evertunt. Quinetiam de morum honestate præcipientes, stupra et adulteria docent, atque ipsis etiam diis cœnas scelestas et horrenda flagitia attribuunt.

Libenter ejusmodi (§ 4) rebus, quas alio in libro attigit, supersedisset Theophilus; sed cum videret Autolycum adhuc fluctuare animo, ac sermonibus hominum insanorum moveri, qui Christianis promiscuos concubitus, et humanæ carnis epulas affingebant, eorumque doctrinam et novam esse et argumentis destitutam dicti-

tabant; uberiorem sibi disputationem de Christianorum innocentia et antiquitate suscipiendam judicavit.

Demonstrat igitur horum criminum gravissima in Græcis scriptoribus indicia, nullam prorsus in Christianis hærere suspicionem. Philosophi (§ 5) celeberrimi docent humanas carnes vorare ac ne parentibus quidem parcere. Omnes fere (§ 6) de nefandis flagitiis consentiunt. Plato communes uxores esse præscribit. Epicurus incestos cum matribus et sororibus concubitus commendat. Quinetiam hæc in deos conferre non dubitant. Et (§ 7) cum nihil omnino constanter sentiant, deos aut ex atomis constare, aut in atomos abire dicunt, aut materiales esse, aut nullam hominum curam gerere. Animam immortalem cum dixerint, in alia hominum vel etiam belluarum corpora migrare asseverant. Providentiam alii affirmant, alii explodunt: deos esse nunc negant, nunc aiunt, atque (§ 8) horrenda illis flagitia et humanæ carnis epulas attribuunt.

Christianorum (§ 9) doctrina longe sanctior, qui unum Deum esse credunt, ejusque providentia mundum gubernari, et ab eo solo disciplinam et legem acceperunt. Quam sancta sit illa lex, ex decem præceptis Mosi a Deo datis probatur. Huc (§ 10) accedit præceptum de humanitate exhibenda advenis. De (§ 11)

pœnitentia, et (§ 12) justitia, et (§ 13) castitate testimonia prophetarum apponuntur; quibus nonnulla adduntur (§ 14) ex novo Testamento de amore inimicorum et inanis gloriæ fuga, et præstanda magistratibus obedientia. In homines tali doctrina imbutos non cadunt nefanda et facinorosa flagitia (§ 15). Imo tanta est Christianorum in hac re cautio, ut nec gladiatorum spectaculis interesse ipsis liceat, ne cædis conscii fiant, nec aliis ludis, ne illorum aures aut oculi contaminentur.

Christianorum (§ 16) doctrinam nec fabulosam nec recentem esse probat Theophilus; 1°, ex eo, quod Græci (§ 17) in mundi annis numerandis quos Christiani ex prophetarum oraculis cognitos et perceptos habent, nihil prorsus viderint; nec in diluvio narrando (§ 18) quod a Mose (§ 19) accuratissime describitur, felicius illis cesserit. Aliud argumentum suppeditat (§ 20) Mosis et (§ 21) exitûs de Ægypto et (§ 22) ipsius templi antiquitas. Ipsi etiam (§ 23) prophetæ antiquiores sunt Græcis scriptoribus.

Atque ut hæc omnia uno in conspectu ponantur, anni (§ 24, 25) Hebræorum numerantur ab Adamo usque ad reditum e captivate Babylonica. Ex quo (§ 26) facilis est comparatio quantum intersit inter Christianorum et Græcorum historias, et utrorumque de mundi ori-

gine doctrinam. Ne quid autem huic chronologiæ desit, Romanorum (§ 27) anni pertexuntur usque ad obitum M. Aurelii. Tum totius chronologiæ præcipua capita (§ 28) summatim recensentur. Ex his concludit quam immerito (§ 29) Christianam doctrinam, quæ Græca omni longe verior et antiquior est, nonnulli ut fabulosam et recentem vellicent.

Librum perorat Theophilus (§ 30) duplici allata causa, cur scriptores Græci Hebræos raro commemorent; quarum prima est, quod recens sit apud eos literarum cognitio, altera quod fabulas amare et veritatem odisse atque insectari non desinant.

ΘΕΟΦΙΛΟΥ ΠΡΟΣ ΑΥΤΟΛΥΚΟΝ.

ΒΙΒΛΙΟΝ Γ'.

§ 1. Θεοφιλος Αὐτολύκῳ χαίρειν. ἐπειδὴ οἱ συγγραφεῖς βούλονται πληθὺν βίβλων συγγράφειν πρὸς κένην δόξαν, οἱ μὲν περὶ θεῶν καὶ πολέμων ἢ χρόνων, τινὲς δὲ καὶ μύθων ἀνωφελῶν καὶ τῆς λοιπῆς ματαιοπονίας, ἧς ἤσκεις καὶ σὺ ἕως τοῦ δεῦρο, κἀκείνου μὲν τοῦ καμάτου οὐκ ὀκνεῖς ἀνεχόμενος, ἡμῖν δὲ συμβαλὼν ἔτι λῆρον ἡγῇ τυγχάνειν τὸν λόγον τῆς ἀληθείας, οἰόμενος προσφάτους καὶ νεωτερικὰς εἶναι τὰς παρ' ἡμῖν γραφάς· διὸ δὴ κἀγὼ οὐκ ὀκνήσω ἀνακεφαλαιώσασθαί σοι, παρέχοντος Θεοῦ, τὴν ἀρχαιότητα τῶν παρ' ἡμῖν γραμμάτων, ὑπόμνημά σοι ποιούμενος δι' ὀλίγων, ὅπως μὴ ὀκνήσῃς ἐντυγχάνειν αὐτῷ· ἐπιγνῷς δὲ τῶν λοιπῶν τὴν φλυαρίαν.

§ 2. Ἐχρῆν γὰρ τοὺς συγγράφοντας αὐτοὺς αὐτόπτας γεγενῆσθαι περὶ ὧν διαβεβαιοῦνται, ἢ ἀκριβῶς μεμαθηκέναι[1] ὑπὸ τῶν τεθεαμένων αὐτά. τρόπῳ γάρ τινι οἱ τὰ ἄδηλα συγγράφοντες ἀέρα δέρουσι. τί γὰρ ὠφέλησεν Ὅμηρον συγγράψαι τὸν Ἰλιακὸν πόλεμον, καὶ πολλοὺς ἐξαπατῆσαι· ἢ Ἡσίοδον ὁ κατάλογος τῆς θεογονίας τῶν παρ' αὐτῷ θεῶν ὀνομαζομένων, ἢ Ὀρφέα οἱ τριακόσιοι ἑξήκοντα πέντε θεοί, οὓς αὐτὸς ἐπὶ τέλει τοῦ βίου ἀθετεῖ, ἐν ταῖς διαθήκαις[2] αὐτοῦ λέγων ἕνα

---

[1] *αὐτόπτας . . . ἀκριβῶς μεμαθηκέναι.*] Locutio fortasse sumpta e Luc. i. 2.

[2] *διαθήκαις.*] Orphei *διαθῆκαι*, sive *Præcepta*, a Justino Martyre

THEOPHILI AD AUTOLYCUM.

LIBER TERTIUS.

§ 1. Theophilus Autolyco salutem. Quoniam plurimos libros scriptores componere amant ad inanem gloriam, alii de diis et bellis et temporibus, alii de fabulis inutilibus, cæterisque operosis nugis, quæ te huc usque exercuerunt; neque tu quidem isto labore perferendo fatigaris, sed quamvis nobiscum sermocinatus es, adhuc tamen arbitraris doctrinam veritatis esse absurdam, recentes admodum esse nostras literas existimans: hanc ob causam nec ego gravabor tibi antiquitatem literarum nostrarum ab origine, Deo annuente, exponere, et perbrevem commemorationem faciam, ut perlegere non graveris, atque ineptias cæterorum scriptorum perspicias.

§ 2. Eos enim oportebat aut suis oculis ea vidisse de quibus asseverant, aut accurate ab iis qui vidissent didicisse. Nam qui incerta scribunt, ii quodammodo aerem cædunt. Quid enim Homerum juvit quod bellum Trojanum scripserit ac multos in errorem induxerit? Aut Hesiodum quod eorum quos vocat deorum genealogiam recensuerit? Aut Orphea quod trecentos et sexaginta quinque deos numeraverit, quos idem sub exitum vitæ sustulit, in præceptis

(De Monarch. Dei, p. 104) et aliis Patribus laudantur, quorum loca vide ap. Fabricium in Biblioth. Gr. I. 19. (Wolf.)

εἶναι θεόν; τί δὲ ὠφέλησεν Ἄρατον ἡ σφαιρογραφία τοῦ κοσμικοῦ κύκλου, ἢ τοὺς τὰ ὅμοια αὐτῷ εἰπόντας, πλὴν τῆς κατ' ἄνθρωπον δόξης, ἧς οὐδὲ αὐτῆς κατ' ἀξίαν ἔτυχον; τί δὲ καὶ ἀληθὲς εἰρήκασιν; ἢ τί ὠφέλησεν Εὐριπίδην, καὶ Σοφοκλέα, ἢ τοὺς λοιποὺς τραγῳδιογράφους αἱ τραγῳδίαι; ἢ Μένανδρον καὶ Ἀριστοφάνην καὶ τοὺς λοιποὺς κωμικοὺς αἱ κωμῳδίαι; ἢ Ἡρόδοτον καὶ Θουκυδίδην αἱ ἱστορίαι αὐτῶν; ἢ Πυθαγόραν τὰ ἄδυτα[1] καὶ Ἡρακλέους στῆλαι; ἢ Διογένην ἡ Κυνικὴ φιλοσοφία; ἢ Ἐπίκουρον τὸ δυγματίζειν μὴ εἶναι πρόνοιαν; ἢ Ἐμπεδοκλέα τὸ διδάσκειν ἀθεότητα; ἢ Σωκράτην τὸ ὀμνύειν τὸν κύνα καὶ τὸν χῆνα καὶ τὴν πλάτανον καὶ τὸν κεραυνωθέντα Ἀσκληπιὸν, καὶ τὰ δαιμόνια ἃ ἐπεκαλεῖτο; πρὸς τί δὲ καὶ ἑκὼν ἀπέθνησκε; τίνα καὶ ὁποῖον μισθὸν μετὰ θάνατον ἀπολαβεῖν ἐλπίζων; τί δὲ ὠφέλησε Πλάτωνα ἡ κατ' αὐτὸν παιδεία; ἢ τοὺς λοιποὺς φιλοσόφους τὰ δόγματα αὐτῶν; ἵνα μὴ τὸν ἀριθμὸν αὐτῶν καταλέγω πολλῶν ὄντων. ταῦτα δέ φαμεν εἰς τὸ ἐπιδεῖξαι τὴν ἀνωφελῆ καὶ ἄθεον διάνοιαν αὐτῶν.

§ 3. Δόξης γὰρ κενῆς καὶ ματαίου πάντες οὗτοι ἐρασθέντες, οὔτε αὐτοὶ τὸ ἀληθὲς ἔγνωσαν, οὔτε μὴν ἄλλους ἐπὶ τὴν ἀλήθειαν προετρέψαντο. καὶ γὰρ ἃ ἔφασαν αὐτὰ ἐλέγχει αὐτοὺς, ἢ ἀσύμφωνα εἰρήκασι·

---

[1] *τὰ ἄδυτα κ.τ.λ.*] Pythagoras, cum in Ægyptum venisset, adyta ingressus esse, et de diis arcana quædam didicisse narratur a Diogene Laert. VIII. 3. p. 490. De itinere ejusdem ad columnas quæ vocantur Herculis, nihil traditur neque a Laertio, neque ab Iamblicho in vit. Pythag. Quoniam igitur celebres fuere in templis Ægyptiorum columnæ *Mercurii* literis hieroglyphicis exaratæ, iisque

suis unum esse Deum asserens? Quid Arato profuit sphærographia cycli mundani; aut quid alii, eadem atque ille dicentes, retulerunt, præter inanem apud homines gloriam, neque eam secundum merita sua? Quid veri dixerunt? Quid Euripidem et Sophoclem et cæteros Tragœdos tragœdiæ juverunt, aut Menandrum et Aristophanem cæterosque Comœdos comœdiæ, aut Herodotum et Thucydidem historiæ suæ? Aut Pythagoram Adyta et Herculis columnæ, aut Diogenem cynica philosophia? Quid Epicuro profuit asserere non esse providentiam, aut Empedocli docere non esse deum, aut Socrati jurare per canem, anserem, platanum, et fulmine tactum Æsculapium, et dæmonia quæ invocabat? Cur ultro mortuus est, quam et qualem mercedem post mortem expectans? Quid Platoni profuit sua disciplina, aut cæteris philosophis, ne magnum eorum numerum recenseam, opiniones suæ? Hæc autem dicimus ut eorum inutilem et impiam animi sententiam ostendamus.

§ 3. Hi enim omnes vanæ et inanis gloriæ cupidi nec verum ipsi viderunt, nec alios ad veritatem excitarunt; ex suis enim ipsorum dictis arguuntur, quatenus secum pug-

---

Pythagoras philosophiæ magistris usus esse narratur (Iambl. de myst. Ægypt. II. p. 3. ed. Gal.) non inepte conjecit Galius, in hoc Theophili loco legendum esse Ἑρμοῦ στῆλαι. Vide Fabricii Bibl. Gr. I. XI. Receptam autem lectionem ne abjiciamus, vetat Philostrati locus (Vit. Apoll. Tyan. V. 5.) qui arcana quædam memorat ab Hercule columnis inscripta, et ab Apollonio explicata. (Wolf. et Bened.)

καὶ τὰ ἴδια δόγματα οἱ πλείους αὐτῶν κατέλυσαν. οὐ γὰρ ἀλλήλους μόνον ἀνέτρεψαν, ἀλλ' ἤδη τινὲς καὶ τὰ ἑαυτῶν δόγματα ἄκυρα ἐποίησαν, ὥστε ἡ δόξα αὐτῶν εἰς ἀτιμίαν καὶ μωρίαν ἐχώρησεν· ὑπὸ γὰρ τῶν συνετῶν καταγινώσκονται. ἤτοι γὰρ περὶ θεῶν ἔφασαν, καὶ αὐτοὶ ὕστερον ἀθεότητα ἐδίδαξαν· ἢ εἰ καὶ περὶ κόσμου γενέσεως, ἔσχατον αὐτοματισμὸν εἶπον εἶναι τῶν πάντων. ἀλλὰ καὶ περὶ προνοίας λέγοντες, πάλιν ἀπρονόητον εἶναι κόσμον ἐδογμάτισαν. τί δ' οὐχὶ καὶ περὶ σεμνότητος πειρώμενοι γράφειν, ἀσελγείας καὶ πορνείας καὶ μοιχείας ἐδίδαξαν ἐπιτελεῖσθαι, ἔτι μὴν καὶ τὰς στυγητὰς ἀῤῥητοποιΐας εἰσηγήσαντο. καὶ πρώτους γε τοὺς θεοὺς αὐτῶν κηρύσσουσιν ἐν ἀῤῥήτοις μίξεσι συγγίνεσθαι, ἔν τε ἀθέσμοις βρώσεσι. τίς γὰρ οὐκ ᾄδει Κρόνον τεκνοφάγον· Δία δὲ τὸν παῖδα αὐτοῦ τὴν Μῆτιν καταπίνειν, καὶ δεῖπνα μιαρὰ τοῖς θεοῖς ἑτοιμάζειν· ἔνθα καὶ χωλὸν Ἥφαιστόν τινα χαλκέα φασὶ διακονεῖν αὐτοῖς. τήν τε Ἥραν ἰδίαν ἀδελφὴν μὴ μόνον τὸν Δία γαμεῖν, ἀλλὰ καὶ διὰ στόματος ἀνάγνου ἀῤῥητοποιεῖν. τάς τε λοιπὰς περὶ αὐτοῦ πράξεις, ὁπόσας ᾄδουσιν οἱ ποιηταὶ, εἰκὸς ἐπίστασαι. τί μοι λοιπὸν καταλέγειν τὰ περὶ Ποσειδῶνος, καὶ Ἀπόλλωνος, ἢ Διονύσου, καὶ Ἡρακλέους, Ἀθηνᾶς τῆς φιλοκόλπου, καὶ Ἀφροδίτης τῆς ἀναισχύντου, ἀκριβέστερον πεποιηκότων ἡμῶν ἐν ἑτέρῳ τὸν περὶ αὐτῶν λόγον.

§ 4. Οὐδὲ γὰρ ἐχρῆν ἡμᾶς ταῦτα ἀνασκευάζειν, εἰ μὴ ὅτι σὲ θεωρῶ νυνὶ διστάζοντα περὶ τὸν λόγον τῆς ἀληθείας. φρόνιμος γὰρ ὢν[1] ἡδέως μωρῶν ἀνέχῃ.

---

[1] *φρόνιμος γὰρ ὤν.*] 2 Cor. xi. 9.

nantia locuti sunt, ac suorum decreta plerique dissolverunt. Neque invicem sese solum evertunt, sed jam nonnulli sua ipsorum decreta irrita fecerunt; ita ut eorum gloria in dedecus et stultitiam evaserit; nam a sapientibus condemnantur. Vel enim de diis locuti sunt, et postea nullum esse Deum docuerunt; vel de mundi origine, ac postremo sua sponte omnia orta esse dixerunt. Quinetiam de providentia loquentes, rursus mundum regi nulla providentia decreverunt. Quid? annon etiam de morum honestate scribere aggressi, flagitia et stupra et adulteria patrare docuerunt, ac detestanda scelera ac nefanda induxerunt? Ac deos etiam suos prædicant primos extitisse, qui in infandis flagitiis sese volutarent, et detestandis cibis epularentur. Quis enim non canit Saturnum filiorum voratorem, aut Jovem, ejus filium, Metin absorbentem, et scelerata convivia diis apponentem, in quibus Vulcanum quendam claudum et fabrum perhibent illis ministrare; Junonem autem propriam ejus sororem cum eo non solum matrimonio junctam, sed etiam infanda flagitia patrantem. Flagitia ejus reliqua, quotquot poetæ canunt, verisimile est te non ignorare. Quid referam Neptuni, Apollinis, Bacchi, Herculis, Minervæ sinus amantis et Veneris impudicæ facinora, cum de his accuratius in alio libro disputaverim?

§ 4. Nam ne hæc quidem a me refelli oportebat, nisi quod te adhuc video circa veritatis doctrinam incertum. Sis enim prudens licet, stultos lubens toleras. Alioqui

ἐπείτοι οὐκ ἂν ἐκινήθης ὑπὸ ἀνοήτων ἀνθρώπων κενοῖς λόγοις ἀπάγεσθαι, καὶ φήμῃ πείθεσθαι προκατεσχηκυίῃ, στομάτων ἀθέων ψευδῶς συκοφαντούντων ἡμᾶς, τοὺς θεοσεβεῖς καὶ Χριστιανοὺς καλουμένους, φασκόντων [1] ὡς κοινὰς ἁπάντων οὔσας τὰς γυναῖκας ἡμῶν, καὶ διαφόρῳ μίξει ξυνόντας, ἔτι μὴν καὶ ταῖς ἰδίαις ἀδελφαῖς συμμίγνυσθαι, καὶ τὸ ἀθεώτατον καὶ ὠμότατον, πασῶν σαρκῶν ἀνθρωπίνων ἐφάπτεσθαι ἡμᾶς. ἀλλὰ καὶ ὡς προσφάτου ὁδεύοντος τοῦ καθ' ἡμᾶς λόγου, καὶ μηδὲν ἔχειν ἡμᾶς λέγειν εἰς ἀπόδειξιν ἀληθείας τῆς καθ' ἡμᾶς, καὶ διδασκαλίας· μωρίαν [2] δὲ εἶναι τὸν λόγον ἡμῶν φασίν. ἐγὼ μὲν οὖν θαυμάζω μάλιστα ἐπὶ σοὶ, ὃς ἐν μὲν τοῖς λοιποῖς γενόμενος σπουδαῖος, καὶ ἐκζητητὴς ἁπάντων πραγμάτων, ἀμελέστερον ἡμῶν ἀκούεις. εἰ γάρ σοι δυνατὸν, καὶ νύκτωρ οὐκ ὤκνεις διατρίβειν ἐν ταῖς βιβλιοθήκαις.

§ 5. Ἐπειδὴ οὖν πολλὰ ἀνέγνως, τί σοι ἔδοξε τὰ Ζήνωνος, ἢ τὰ Διογένους, καὶ Κλεάνθους, ὁπόσα περιέχουσιν αἱ βίβλοι αὐτῶν, διδάσκουσαι ἀνθρωποβορίας, πατέρας μὲν ἀπὸ [3] ἰδίων τέκνων ἕψεσθαι καὶ βιβρώσκεσθαι, καὶ εἴ τις οὐ βούλοιτο ἢ μέλος τι τῆς μυσερᾶς τροφῆς ἀποῤῥίψειεν, αὐτὸν κατεσθίεσθαι τὸν μὴ φάγοντα. πρὸς τούτοις ἀθεωτέρα τις φωνὴ εὑρίσκεται, ἡ τοῦ Διογένους, διδάσκοντος τὰ τέκνα τοὺς ἑαυτῶν γονεῖς εἰς θυσίαν ἄγειν, καὶ τούτους κατεσθίειν. τί δ' οὐχὶ καὶ Ἡρόδοτος ὁ ἱστοριογράφος μυθεύει τὸν Καμβύσην [4] τὰ τοῦ Ἁρπάγου τέκνα σφάξαντα καὶ ἑψήσαντα

---

[1] φασκόντων κ.τ.λ.] Ita Athenagoras Apol. § 3. τρία ἐπιφημίζουσιν ἡμῖν ἐγκλήματα, ἀθεότητα, Θυέστεια δεῖπνα, Οἰδιποδείους μίξεις.

[2] μωρίαν.] 1 Cor. i. 18.

non te commovissent homines stulti ut vanis sermonibus abriperereris, atque famæ prævalenti crederes, impiis linguis falso nos incusantibus, qui Deum colimus et Christiani vocamur, et dicentibus communes omnium esse nostras uxores, nosque promiscuo concubitu uti, et cum sororibus misceri, et quod maxime impium et crudelissimum est, carnem quamlibet humanam gustare. Addunt etiam recens prodiisse nostram doctrinam, nec quidquam nos habere quod afferamus ad veritatem illius demonstrandam, stultitiamque esse institutum nostrum. Equidem te plurimum admiror, qui cum ad cætera diligens sis, atque omnium rerum explorator, nos tamen negligenter audio. Nam si liceat, libenter velis et noctem in bibliothecis consumere.

§ 5. Quoniam autem multa perlegisti, quid tibi visa sunt illa Zenonis et Diogenis et Cleanthis præcepta, qualia eorum libris continentur, ut humana caro voretur, ac parentes a propriis filiis coquantur et vorentur; ac si quis nolit, aut membrum aliquod infandi illius cibi projiciat, ipse ille comedatur qui non comedit? Hanc impietatem superat vox illa Diogenis docentis ut suos filii parentes in victimæ loco immolent et comedant. Quid? nonne Cambysem fabulatur historiæ scriptor Herodotus, cum Harpagi filios occidisset, coctos patri epulum apposuisse? Idem

---

[3] ἀπὸ] pro ὑπὸ, ut sæpe ap. Justin. Mart.

[4] Καμβύσην.] Manifestus error, non enim Cambyses, sed Astyages id commisit. Vid. Herod. I. 119. Sed forte effluxit memoria Herodoto, nec necesse est Astyagis nomen in ipso textu reponere, ut Fellus et Wolfius fecerunt. (Bened.)

παρατεθεικέναι τῷ πατρὶ βοράν. ἔτι δὲ καὶ παρὰ Ἰνδοῖς[1] μυθεύει κατεσθίεσθαι τοὺς πατέρας ὑπὸ τῶν ἰδίων τέκνων. ὦ τῆς ἀθέου διδασκαλίας τῶν τὰ τοιαῦτα ἀναγραψάντων, μᾶλλον δὲ διδαξάντων· ὦ τῆς ἀσεβείας καὶ ἀθεότητος αὐτῶν· ὦ τῆς διανοίας τῶν οὕτως ἀκριβῶς φιλοσοφησάντων καὶ φιλοσοφίαν ἐπαγγελλομένων. οἱ γὰρ ταῦτα δογματίσαντες τὸν κόσμον ἀσεβείας ἐνέπλησαν.

§ 6. Καὶ γὰρ περὶ ἀθέσμου πράξεως σχέδον πᾶσι συμπεφώνηκε, τοῖς περὶ τὸν χόρον τῆς φιλοσοφίας πεπλανημένοις. καὶ πρῶτός γε Πλάτων, ὁ δοκῶν ἐν αὐτοῖς σεμνότερον πεφιλοσοφηκέναι, διαῤῥήδην ἐν τῇ πρώτῃ[2] βίβλῳ τῶν πολιτειῶν ἐπιγραφομένῃ, τρόπῳ τινὶ νομοθετεῖ εἶναι κοινὰς ἁπάντων τὰς γυναῖκας, χρώμενος παραδείγματι τῷ Διὸς, καὶ Κρητῶν νομοθέτῃ, ὅπως διὰ προφάσεως παιδοποιΐα πολλὴ γίνηται ἐκ τῶν τοιούτων, καὶ ὡς δῆθεν τοὺς λυπουμένους διὰ τοιούτων ὁμιλιῶν χρὴ παραμυθεῖσθαι. Ἐπίκουρος δὲ καὶ αὐτὸς σὺν τῷ ἀθεότητα διδάσκειν, συμβουλεύει καὶ μητράσι καὶ ἀδελφαῖς συμμίγνυσθαι, καὶ πέρα τῶν νόμων τῶν τοῦτο κωλυόντων· ὁ γὰρ Σόλων[3] καὶ περὶ τούτου σαφῶς ἐνομοθέτησεν, ὅπως ἐκ τοῦ γήμαντος οἱ παῖδες νομίμως γίνωνται, πρὸς τὸ μὴ ἐκ μοιχείας τοὺς γεννωμένους εἶναι, ἵνα μὴ τὸν οὐκ ὄντα πατέρα τιμήσῃ τις ὡς πατέρα, ἢ τὸν ὄντως πατέρα ἀτιμάσῃ τις, ἀγνοῶν ὡς μὴ πατέρα. ὁπόσα τε οἱ λοιποὶ νόμοι κωλύουσι Ῥωμαίων τε καὶ Ἑλλήνων τὰ τοιαῦτα πράσσεσθαι. πρὸς

---

[1] παρὰ Ἰνδοῖς.] Eadem refert ex Herodoto Celsus ap. Origen. contr. Cels. v. p. 254. (Ed. Spencer.)

etiam apud Indos fabulatur comedi a propriis filiis parentes. O doctrinam impiam talia scribentium vel potius docentium! O impietatem et atheismum eorum! O mentem tam accurate philosophantium et philosophiam præ se ferentium! Nam qui hæc docuerunt, mundum impietate impleverunt.

§ 6. Nam et de infando scelere pene inter omnes convenit, qui in philosophiæ choro erraverunt. Ac primus quidem Plato, qui præclarius inter eos philosophatus videtur, nominatim, in primo de Republica libro, lege quodammodo sancit, communes esse omnium uxores, auctore utens Jovis filio et Cretensium legislatore, ut sub hoc prætextu fœcunda proles ex talibus nasceretur, simul ut ii qui labores subirent, hujusmodi consuetudine oblectarentur; et hæc quidem contra leges quæ talia prohibent. Solon enim ea de re legem diserte sancivit, ut ex matrimonio liberi legitime nascantur; non autem ex adulterio, ne quis in patris loco eum colat qui pater non sit, aut eum qui vere sit temnat, patrem esse ignorans. Epicurus autem, præterquam quod Deum non esse docet, suadet ut quis cum matre et sorore coeat, atque ut ejusmodi facinora patrentur, quæcunque reliquis legibus Græcorum et Romanorum

---

2 *πρώτῃ.*] Leguntur hæc in *quinto* de Repub. libro p. 457. *τὰς γυναῖκας ταύτας τῶν ἀνδρῶν τούτων πάντων πάσας εἶναι κοινὰς, ἰδίᾳ δὲ μηδεμίαν συνοικεῖν, καὶ τοὺς παῖδας εἶναι κοινούς.*

3 *Σόλων.*] Ita Wolf. et Bened. pro *Σολομῶν.*

τί οὖν Ἐπίκουρος καὶ οἱ Στωϊκοὶ δογματίζουσιν ἀδελφοκοιτίας καὶ ἀῤῥενοβασίας ἐπιτελεῖσθαι, ἐξ ὧν διδασκαλιῶν μεστὰς βιβλιοθήκας πεποιήκασιν, εἰς τὸ ἐκ παίδων μανθάνειν τὴν ἄθεσμον κοινωνίαν; καὶ τί μοι λοιπὸν κατατρίβεσθαι περὶ αὐτῶν, ὅπου γε καὶ περὶ τῶν θεῶν παρ' αὐτοῖς λεγομένων τὰ ὅμοια κατηγγέλκασι;

§ 7. Θεοὺς γὰρ φήσαντες εἶναι, πάλιν εἰς οὐδὲν αὐτοὺς ἡγήσαντο. οἱ μὲν γὰρ ἐξ ἀτόμων αὐτοὺς ἔφασαν συνεστάναι. οἱ δὲ αὖ χωρεῖν εἰς ἀτόμους, καὶ μηδὲν πλεῖον ἀνθρώπων δύνασθαι τοὺς θεούς φασι. Πλάτων δὲ θεοὺς εἰπὼν εἶναι, ὑλικοὺς αὐτοὺς βούλεται συνιστᾷν. Πυθαγόρας[1] δὲ τοσαῦτα μοχθήσας περὶ θεῶν, καὶ τὴν ἄνω κάτω πορείαν ποιησάμενος, ἔσχατον ὁρίζει φύσιν, καὶ αὐτοματισμὸν εἶναί φησι τῶν πάντων, καὶ θεοὺς ἀνθρώπων μηδὲν φροντίζειν. ὁπόσα τε Κλιτόμαχος ὁ Ἀκαδημαϊκὸς περὶ ἀθεότητος εἰσηγήσατο. τί δ' οὐχὶ καὶ Κριτίας, καὶ Πρωταγόρας ὁ Ἀβδηρίτης λέγων· εἴτε γὰρ εἰσὶ θεοὶ, οὐ δύναμαι περὶ αὐτῶν λέγειν, οὔτε ὁποῖοί εἰσι δηλῶσαι. πολλὰ γάρ ἐστι τὰ κωλύοντά με. τὰ γὰρ περὶ Εὐημέρου τοῦ ἀθεωτάτου περισσὸν ἡμῖν καὶ λέγειν. πολλὰ γὰρ περὶ θεῶν τολμήσας φθέγξασθαι, ἔσχατον καὶ τὸ ἐξόλου μὴ εἶναι θεοὺς, ἀλλὰ τὰ πάντα αὐτοματισμῷ διοικεῖσθαι βούλεται. Πλάτων δὲ ὁ τοσαῦτα εἰπὼν περὶ μοναρχίας Θεοῦ καὶ ψυχῆς ἀνθρώπου, φάσκων ἀθάνατον εἶναι τὴν ψυχὴν, οὐκ αὐτὸς ὕστε-

---

[1] Πυθαγόρας.] Hoc Theophili de Pythagora judicium nonnullis displicuit, in primis Reinesio Var. Lect. III. p. 444. Habet tamen noster non contemnendos adscriptores. Ita Tertull. Apol. II.

prohibentur. Cur igitur Epicurus et Stoici incestos cum sororibus et masculis concubitus docent, qua doctrina bibliothecas impleverunt, ut a teneris infanda flagitia ediscerentur? Sed quid attinet pluribus circa eos immorari, cum de iis etiam quos Deos appellant similia prædicaverint?

§ 7. Postquam enim deos esse dixerunt, rursus eos ad nihilum redigunt. Alii enim ex atomis eos constare dixerunt, alii in atomos abire nec quidquam amplius posse quam homines. Plato deos esse dicens, eosdem vult ex materia constituere. Pythagoras autem qui tot et tanta de diis laboravit, ac sursum deorsum peregrinatus est, postremo definit naturam, et fortuito omnia fieri dicit, nec ullam hominum curam deos gerere. Mitto quæ Clitomachus Academicus protulit, dicens deos non esse. Quid et Critias et Protagoras Abderites qui dixit: Neque utrum dii sint possum dicere, nec quales sint demonstrare; multa enim sunt quæ me prohibent. Nam quæ ab Euemero, homine impio, dicta sunt, supervacaneum est commemorare. Is enim, postquam multa de diis disserere ausus est, postremo nullos omnino esse, ac fortuito omnia gubernari contendit. Plato autem qui tam multa de monarchia Dei disputavit, et de anima humana, immortalem eam esse statuens, nonne

---

"Hoc mundi corpus sive innatum et infectum secundum Pythagoram, sive natum et factum secundum Platonem." Vide etiam Theodoret. VI. adv. Græcos. p. 562. (Bened.)

ρον εὑρίσκεται ἐναντία ἑαυτῷ λέγων, τὰς μὲν ψυχὰς μετέρχεσθαι εἰς ἑτέρους ἀνθρώπους, ἐνίων δὲ καὶ εἰς ἄλογα ζῶα χωρεῖν; πῶς οὐ δεινὸν καὶ ἀθέμιτον δόγμα αὐτοῦ τοῖς γε νοῦν ἔχουσι φανήσεται, ἵνα ὅ ποτε ἄνθρωπος πάλιν ἔσται λύκος, ἢ κύων, ἢ ὄνος, ἢ ἄλλο τι ἄλογον κτῆνος; τούτῳ ἀκόλουθα καὶ Πυθαγόρας εὑρίσκεται φλυαρῶν, πρὸς τῷ καὶ πρόνοιαν ἐκκόπτειν. τίνι οὖν αὐτῶν πιστεύσωμεν; Φιλήμονι τῷ κωμικῷ λέγοντι·

Οἱ γὰρ Θεὸν σέβοντες ἐλπίδας καλὰς
Ἔχουσιν εἰς σωτηρίαν.

ἢ οἷς προειρήκαμεν Εὐημέρῳ καὶ Ἐπικούρῳ καὶ Πυθαγόρᾳ, καὶ τοῖς λοιποῖς ἀρνουμένοις εἶναι θεοσέβειαν, καὶ πρόνοιαν ἀναιροῦσιν; περὶ μὲν οὖν Θεοῦ καὶ προνοίας Ἀρίστων ἔφη·

Θάρσει, βοηθεῖν πᾶσι τοῖσιν ἀξίοις
Εἴωθεν ὁ Θεός· τοῖς δὲ τοιούτοις σφόδρα.
Εἰ μὴ πάρεσται προεδρία τις κειμένη
Τοῖς ζῶσιν ὡς δεῖ, τί πλέον ἐστὶν εὐσεβεῖν;
Εἴη γὰρ οὕτως, ἀλλὰ καὶ λίαν ὁρῶ
Τοὺς εὐσεβῶς μὲν ἑλομένους διεξάγειν,
Πράττοντας ἀτόπως· τοὺς δὲ μηδὲν ἕτερον ἢ
Τὸ λυσιτελὲς καὶ τὸ κατ' αὐτοὺς μόνον
Ἐντιμοτέραν ἔχοντας ἡμῶν διάθεσιν
Ἐπὶ τοῦ πάροντος. ἀλλὰ δεῖ πόῤῥω βλέπειν
Καὶ τὴν ἁπάντων ἀναμένειν καταστροφήν.
Οὐχ ὃν τρόπον γὰρ παρ' ἐνίοις ἴσχυκέ τις
Δόξα κακοήθης τῷ βίῳ τ' ἀνωφελὴς,
Φορά τίς ἐστ' αὐτόματος, ἣ βραβεύεται
Ὡς ἔτυχε πάντα. ταῦτα γὰρ κρίνουσ' ἔχειν
Ἐφόδια πρὸς τὸν ἴδιον οἱ φαῦλοι τρόπον.
Ἔστιν δὲ καὶ τοῖς ζῶσιν ὁσίως προεδρία,

postea secum ipse pugnare deprehenditur, dum quorundam animas in alios homines migrare dicit, quorundam in animalia rationis expertia? Annon horrenda et nefanda ejus sententia viris prudentibus videbitur, ut qui olim homo fuerit, is rursus lupus aut canis fiat, aut asinus aut aliud quidpiam animal rationis expers? Huic consona Pythagoras nugatus est, et providentiam quoque sustulit. Utris igitur credemus? Philemoni Comico qui ait:

Præclara namque numinis cultoribus
Spes ad salutem suppetit:

an iis quos diximus Euemero Epicuro et Pythagoræ, cæterisque Deum colendum esse negantibus, ac providentiam tollentibus? Ac de Deo quidem et providentia ait Aristo:

Confide, dignis nam omnibus solet Deus
Opem tulisse, maximeque talibus.
Ni sit statutum præmium viventibus
Recte, quid animus proderit timens Dei?
Sed rem esse sic fac; sæpe sed vidi tamen
Illos pie ævum qui volunt traducere
Uti haud secundis rebus, et qui aliud nihil
Præter lucellum ipsisque solis utile
Curant, honore fulgidos quam nos magis
Esse hoc in ævo. Longius sed cernere
Et præstolari finem oportet omnium.
Non enim ut inhæret pluribus sententia
Nefanda prorsus, sæculoque inutilis,
Injussa quædam motio est; nec omnia
Reguntur ut fors fert: habere enim volunt
Morum suorum hæc improbi munimina.
Pietatis autem præmium est cultoribus:

Καὶ τοῖς πονηροῖς ὡς προσῆκ' ἐπιτιμία.
Χωρὶς προνοίας γίνεται γὰρ οὐδὲ ἕν.

ὁπόσα τε καὶ ἄλλοι, καὶ σχέδον γε οἱ πλείους εἶπον περὶ Θεοῦ καὶ προνοίας, ὁρᾷν ἐστὶ πῶς ἀνακόλουθα ἀλλήλοις ἔφασαν. οἱ μὲν γὰρ τὸ ἐξ ὅλου Θεὸν καὶ πρόνοιαν εἶναι ἀνεῖλον· οἱ δ' αὖ συνέστησαν Θεὸν, καὶ πάντα προνοίᾳ διοικεῖσθαι ὡμολόγησαν. τὸν οὖν συνετὸν ἀκροατὴν καὶ ἀναγινώσκοντα προσέχειν ἀκριβῶς τοῖς λεγομένοις δεῖ· καθὼς καὶ ὁ Σίμυλος ἔφη·

Κοινῶς ποιητὰς ἔθος ἐστὶ καλεῖν
Καὶ τοὺς περιττοὺς[1] τῇ φύσει καὶ τοὺς καλούς.
Ἔδει δὲ κρίνειν.

καθάπερ καὶ ὁ Φιλήμων·

Χαλεπὸν ἀκροατὴς ἀσύνετος καθημένος.
Ὑπὸ γὰρ ἀνοίας οὐχ ἑαυτὸν μέμφεται.

χρὴ οὖν προσέχειν, καὶ νοεῖν τὰ λεγόμενα, κριτικῶς ἐξετάζοντα τὰ ὑπὸ τῶν φιλοσόφων καὶ τῶν λοιπῶν ποιητῶν εἰρημένα.

§ 8. Ἀρνούμενοι γὰρ θεοὺς εἶναι, πάλιν ὁμολογοῦσιν αὐτοὶ, καὶ τούτους πράξεις ἀθέσμους ἐπιτελεῖν ἔφασαν. καὶ πρώτου γε τοῦ Διὸς οἱ ποιηταὶ εὐφωνότερον ᾄδουσι τὰς χαλεπὰς πράξεις. Χρύσιππος δὲ ὁ πολλὰ φλυαρήσας, πῶς οὐχὶ εὑρίσκεται σημαίνων τὴν Ἥραν στόματι μιαρῷ συγγίνεσθαι τῷ Διΐ; τί γάρ μοι καταλέγειν τὰς ἀσελγείας τῆς μητρὸς θεῶν λεγομένης; ἢ Διὸς τοῦ Λατεαρίου διψῶντος αἵματος ἀνθρωπείου; ἢ Ἄττου τοῦ ἀποκοπτομένου· ἢ ὅτι ὁ Ζεὺς ὁ καλούμενος τραγῳδὸς

1 περιττούς.] *Malos.* Cf. Justin. Mart. de Monarchia I.

Est et scelestis, ut decet, punitio ;
Nil quippe nil fit absque providentia.

Et quæcunque alii et propemodum plerique de Deo et providentia dixere, ea quam parum inter se consona dixerint in promptu est. Alii enim Deum omnino et providentiam sustulerunt, alii Deum esse statuerunt, et providentia omnia gubernari confessi sunt. Prudenti igitur auditori et lectori diligenter considerandum est quid a quoque dicatur, ut ait Simylus ;

Mos est poetas nomine æquo dicere
Natura inepti sive sint sive optimi ;
At judicare oportet.

Sicut et Philemon ;

Res est molesta ineptus auditor sedens,
Haud nempe culpat se ipse præ vecordia.

Considerare igitur oportet quæ dicuntur, et cum judicio expendere philosophorum et poetarum sententias.

§ 8. Nam qui negant deos esse, confitentur rursus, et nefanda facinora ab iis patrari dixerunt. Ac Jovis imprimis nefarie facta pleniori ore poetæ prædicant. Chrysippus autem qui multa nugatus est, annon significavit Junonem cum Jove impure esse congressam. Quid enim matris illius, quæ dicitur, deorum, aut Jovis Latiaris sanguinem humanum sitientis, aut Attum castratum, aut Jovem illum cognomine tragœdum, qui suam ipsius manum, ut perhi-

κατακλύσας τὴν ἑαυτοῦ χεῖρα, ὥς φασι, νῦν παρὰ Ῥωμαίοις θεὸς τιμᾶται; σιγῶ τὰ Ἀντινόου τεμένη, καὶ τὰ τῶν λοιπῶν καλουμένων θεῶν. καὶ γὰρ ἱστορούμενα τοῖς συνετοῖς καταγέλωτα φέρει. ἤτοι οὖν περὶ ἀθεότητος αὐτοὶ ὑπὸ τῶν ἰδίων δογμάτων ἐλέγχονται οἱ τὰ τοιαῦτα φιλοσοφήσαντες, ἢ καὶ περὶ πολυμιξίας καὶ ἀθέσμου κοινωνίας. ἔτι μὴν καὶ ἀνθρωποβορία παρ' αὐτοῖς εὑρίσκεται, δι' ὧν συνέγραψαν γραφῶν, καὶ πρώτους γε οὓς τετιμήκασι θεοὺς, ταῦτα πεπραχότας ἀναγράφουσιν.

§ 9. Ἡμεῖς δὲ καὶ Θεὸν ὁμολογοῦμεν, ἀλλ' ἕνα, τὸν κτίστην καὶ ποιητὴν καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς, καὶ προνοίᾳ τὰ πάντα διοικεῖσθαι ἐπιστάμεθαι, ἀλλ' ὑπ' αὐτοῦ μόνου· καὶ νόμον ἅγιον μεμαθήκαμεν· ἀλλὰ νομοθέτην ἔχομεν τὸν ὄντως Θεὸν, ὃς διδάσκει ἡμᾶς δικαιοπραγεῖν καὶ εὐσεβεῖν καὶ καλοποιεῖν. καὶ περὶ μὲν εὐσεβείας λέγει· οὐκ ἔσονταί[1] σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. οὐ ποιήσεις σεαυτῷ εἴδωλον οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, ἢ ὅσα ἐν τῇ γῇ κάτω, ἢ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς· οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς. ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου. περὶ δὲ τοῦ καλοποιεῖν ἔφη· τίμα τὸν πατέρα σοῦ, καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος ἔσῃ ἐπὶ τῆς γῆς, ἧς ἐγὼ δίδωμί σοι Κύριος ὁ Θεός. ἔτι περὶ δικαιοσύνης· οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ, οὐκ ἐπιθυμήσεις τὴν

---

1 οὐκ ἔσονται.] Paulum obscura est hæc enumeratio. Præceptis enim duobus omissis quæ in Exod. xx. 7, 8, inveniuntur, versus tres citat Theophilus ex Exod. xxiii. neque manifestum facit quo

bent, inundavit, ac nunc deus apud Romanos colitur? Taceo templa Antinoi, et cæterorum, quos vocant deorum. Risum enim, dum narrantur, sapientium virorum movent. Vel impietatis igitur ex suis ipsorum scriptis arguuntur qui talia philosophati sunt, vel etiam promiscui et nefandi concubitus. Mos etiam humanæ carnis edendæ apud illos invenitur, in scriptis quæ reliquerunt, et deos, quos colunt, primos hæc facinora patrasse narrant.

§ 9. Nos autem et Deum confitemur, sed unum conditorem et creatorem et opificem hujus universi; et providentia gubernari omnia, sed ab eo solo; et legem sanctam didicimus, sed legislatorem habemus verum Deum, a quo et justitiam colere et pietatem et bona opera facere edocemur. Ac de pietate quidem sic præcepit; *Non erunt tibi dii alii præter me. Non facies tibi ipsi idolum, nec cujusquam similitudinem, quæcunque in cœlis desuper, aut in terra deorsum, aut in aquis sunt subter terram. Non adorabis ea neque coles ea; Ego enim sum Dominus Deus tuus.* De bonis autem operibus sic ait, *Honora patrem tuum et matrem tuam, ut bene tibi sit, et ut longævus sis super terram quam ego do tibi Dominus Deus.* Atque etiam de justitia; *Non mœchaberis; non occides; non furaberis; Non falso testaberis contra proximum tuum*

---

pacto δέκα κεφάλαια, *decem* capita, diviserit. Notanda autem est distinctio quam facit Theophilus inter beneficentiam et innocentiam (τὸ καλοποιεῖν καὶ δικαιοπραγεῖν.)

γυναῖκα τοῦ πλησίον σου, οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν αὐτοῦ, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὐδὲ τοῦ βοὸς αὐτοῦ, οὐδὲ τοῦ ὑποζυγίου αὐτοῦ, οὐδὲ παντὸς κτήνους αὐτοῦ, οὐδὲ ὅσα ἐστὶ τῷ πλησίον σου. οὐ διαστρέψεις κρίμα πένητος ἐν κρίσει αὐτοῦ. ἀπὸ παντὸς ῥήματος ἀδίκου διαποστήσῃ. ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς. οὐ δικαιώσεις τὸν ἀσεβῆ. καὶ δῶρα οὐ λήψῃ. τὰ γὰρ δῶρα ἀποτυφλοῖ ὀφθαλμοὺς βλεπόντων, καὶ λυμαίνεται ῥήματα δίκαια[1]. τούτου μὲν οὖν τοῦ θείου νόμου διάκονος γεγένηται Μωσῆς, ὁ καὶ θεράπων τοῦ Θεοῦ, παντὶ μὲν τῷ κόσμῳ, παντελῶς δὲ τοῖς Ἑβραίοις τοῖς καὶ Ἰουδαίοις καλουμένοις, οὓς κατεδούλωσεν ἀρχῆθεν βασιλεὺς Αἰγύπτου, τυγχάνοντας σπέρμα δίκαιον ἀνδρῶν θεοσεβῶν καὶ ὁσίων, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ὧν ὁ Θεὸς μνησθεὶς καὶ ποιήσας θαυμάσια καὶ τέρατα διὰ Μωσέως παράδοξα, ἐῤῥύσατο αὐτοὺς, καὶ ἐξήγαγεν ἐκ τῆς Αἰγύπτου, ἀγαγὼν αὐτοὺς διὰ τῆς ἐρήμου καλουμένης· οὓς καὶ ἀπεκατέστησεν εἰς τὴν Χαναναίαν γῆν, μετέπειτα Ἰουδαίαν ἐπικληθεῖσαν, καὶ νόμον παρέθετο, καὶ ἐδίδαξεν αὐτοὺς ταῦτα. τοῦ μὲν οὖν νόμου μεγάλου καὶ θαυμασίου πρὸς πᾶσαν δικαιοσύνην ὑπάρχοντος, δέκα κεφάλαια[2] ἃ προειρήκαμεν τοιαῦτά ἐστιν.

§ 10. Ἐπειδὴ οὖν προσήλυτοι ἐγενήθησαν ἐν γῇ Αἰγύπτῳ, ὄντες τὸ γένος Ἑβραῖοι ἀπὸ γῆς τῆς Χαλδαϊκῆς· (κατ' ἐκεῖνο καιροῦ λιμοῦ γενομένης ἀνάγκην ἔσχον μετελθεῖν εἰς Αἴγυπτον σιτίων ἐκεῖ πιπρασκομένων· ἔνθα καὶ χρόνῳ παρῴκησαν· ταῦτα δὲ αὐτοῖς

---

[1] *οὐ διαστρέψεις . . . . ῥήματα δίκαια.*] Exod. xxiii. 6; Deut. xvi. 19.

testimonium falsum. Non concupisces uxorem proximi tui, nec domum ejus, nec servum, nec ancillam, nec bovem, nec jumentum, neque ullum pecus ejus, nec quæcumque sunt proximi tui. Non pervertes judicium pauperis in judicio ejus. Ab omni verbo injusto recedes. Innocentem et justum non occides; nec justificabis impium, et munera non accipies; munera enim obcæcant oculos videntium et pervertunt verba justa. Hujus divinæ legis minister fuit Moses famulus Dei toti quidem mundo, præcipue vero Hebræis, qui et Judæi dicti sunt; quos antiquitus Rex Ægypti in servitutem redegit, cum essent semen justum hominum piorum et sanctorum, Abraam Isaac et Jacob. Quorum recordatus Deus, factisque miraculis et prodigiis per Mosen, liberavit eos et ex Ægypto eduxit, duxitque per eam regionem quæ deserta dicitur, atque in terram Chananæam restituit, quæ postea Judæa vocata est; legemque posuit, et hæc eos edocuit. Magnæ igitur et admirabilis ad omnem justitiam legis decem capita, quæ modo retulimus, sic habent.

§ 10. Quoniam igitur inquilini in Ægypto fuerant qui genere Hebræi erant e Chaldæa (orta enim his temporibus fame, coacti sunt in Ægyptum transmigrare frumenti causa, quod illic vendebatur; ubi et diu commorati sunt:

---

[2] δέκα κεφάλαια.] Legem naturalem omnibus hominibus in initio a Deo datam esse, eamque *Decalogum* vocari, affirmat Irenæus IV. 15.

συνέβη κατὰ προαναφώνησιν Θεοῦ·) παροικήσαντες οὖν ἐν Αἰγύπτῳ ἔτεσι τετρακοσίοις καὶ τριάκοντα, ἐν τῷ τὸν Μωσῆν μέλλειν ἐξάγειν αὐτοὺς εἰς τὴν ἔρημον, ὁ Θεὸς ἐδίδαξεν αὐτοὺς διὰ τοῦ νόμου λέγων· προσήλυτον[1] οὐ θλίψετε. ὑμεῖς γὰρ οἴδατε τὴν ψυχὴν τοῦ προσηλύτου. αὐτοὶ γὰρ προσήλυτοι ἦτε ἐν τῇ γῇ Αἰγύπτῳ.

§ 11. Τὸν μὲν οὖν νόμον τὸν ὑπὸ τοῦ Θεοῦ δεδομένον αὐτοῖς ἐν τῷ παραβῆναι τὸν λαὸν, ἀγαθὸς ὢν καὶ οἰκτίρμων ὁ Θεὸς, μὴ βουλόμενος διαφθεῖραι αὐτοὺς, πρὸς τῷ δεδωκέναι τὸν νόμον, ὕστερον δὲ καὶ προφήτας ἐξέπεμψεν αὐτοῖς ἐκ τῶν ἀδελφῶν αὐτῶν, πρὸς τὸ διδάσκειν καὶ ἀναμιμνήσκειν τὰ τοῦ νόμου αὐτοὺς, καὶ ἐπιστρέφειν εἰς μετάνοιαν, τοῦ μηκέτι ἁμαρτάνειν. εἰ δὲ ἐπιμένοιεν ἐν ταῖς φαύλαις πράξεσι, προανεφώνησεν ὑποχειρίους αὐτοὺς παραδοθῆναι πάσαις ταῖς βασιλείαις τῆς γῆς. καὶ ὅτι ταῦτα αὐτοῖς ἤδη ἀπέβη, φανερὸν μέν ἐστι. περὶ μὲν οὖν τῆς μετανοίας, Ἡσαΐας[2] ὁ προφήτης κοινῶς μὲν πρὸς πάντας, διαῤῥήδην δὲ πρὸς τὸν λαὸν λέγει· ζητήσατε τὸν Κύριον καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε· ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολιπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ, καὶ ἐπιστραφήτω ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ, καὶ ἐλεηθήσεται, ὅτι ἐπιπολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν. καὶ ἕτερος προφήτης Ἐζεκιήλ[3] φησιν· ἐὰν ἀποστραφῇ ὁ ἄνομος ἀπὸ πασῶν τῶν ἀνομιῶν ὧν ἐποίησε, καὶ φυλάξῃ τὰς ἐντολάς μου, καὶ ποιήσῃ τὰ δικαιώματά μου, ζῶν ζήσεται, καὶ οὐ μὴ ἀποθάνῃ, πᾶσαι αἱ ἀδικίαι αὐτοῦ ἃς ἐποίησεν οὐ

---

[1] προσήλυτον κ.τ.λ.] Exod. xxii. 21.

hæc autem eis eveniebant secundum Dei prædictionem) cum igitur morati essent in Ægypto annos quadringentos et triginta, cumque illos Moses in desertum perducturus esset; sic eos Deus per legem edocuit: *Peregrinum non affligetis; vos enim nostis animam peregrini; ipsi enim peregrini in terra Ægypti fuistis.*

§ 11. Cum autem legem a Deo datam populus transgrederetur, benignus et misericors Deus nolens eos perdere, præterquam quod legem dedit, postea prophetas etiam misit illis ex fratribus illorum, qui legem docerent et in memoriam revocarent, atque eos ad pœnitentiam converterent, quo amplius non peccarent. Sin autem in pravis actionibus permanerent, prænuntiavit fore ut captivi traderentur omnibus regnis terræ; quæ quidem jam eis evenisse in promtu est. De pœnitentia igitur Esaias propheta communiter quidem omnes, nominatim vero populum alloquitur; *Quærite Dominum, et in inveniendo invocate, et postquam vobis appropinquaverit, relinquat impius vias suas, et vir iniquus cogitationes suas, et convertatur ad Dominum et misericordiam consequetur; quia multum dimittet peccata vestra.* Et Ezechiel alius propheta ait; *Si iniquus averterit se ab omnibus iniquitatibus quas fecit, et custodierit præcepta mea, et fecerit justificationes meas, vivens vivet et non morietur, et iniquitates ejus quas fecit non*

---

[2] Ἡσαΐας.] cap. lv. 6.
[3] Ἐζεκιήλ.] cap. xviii. 21.

μὴ μνησθῶσιν, ἀλλὰ τῇ δικαιοσύνῃ ᾗ ἐποίησε ζήσεται, ὅτι οὐ βούλομαι τὸν θάνατον τοῦ ἀνόμου λέγει Κύριος, ἀλλ' ἐπιστρέψαι ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς, καὶ ζῇν αὐτόν. πάλιν ὁ Ἡσαΐας[1]· ἐπιστράφητε οἱ τὴν βαθεῖαν βουλὴν βουλευόμενοι καὶ ἄνομον, ἵνα σωθήσεσθε. καὶ ἕτερος Ἱερεμίας[2]· ἐπιστράφητε ἐπὶ Κύριον τὸν Θεὸν ὑμῶν, ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρτελλον αὐτοῦ, καὶ ἐλεηθήσεσθε. πολλὰ μὲν οὖν, μᾶλλον δὲ ἀναρίθμητά ἐστι τὰ ἐν ταῖς ἁγίαις γραφαῖς εἰρημένα περὶ μετανοίας, ἀεὶ τοῦ Θεοῦ βουλομένου ἐπιστρέφειν τὸ γένος τῶν ἀνθρώπων ἀπὸ πασῶν τῶν ἁμαρτιῶν.

§ 12. Ἔτι μὴν καὶ περὶ δικαιοσύνης, ἧς ὁ νόμος εἴρηκεν, ἀκόλουθα εὑρίσκεται καὶ τὰ τῶν προφητῶν καὶ τὰ τῶν εὐαγγελίων ἔχειν, διὰ τὸ τοὺς πάντας πνευματοφόρους ἑνὶ πνεύματι Θεοῦ λελαληκέναι. ὁ γοῦν Ἡσαΐας[3] οὕτως ἔφη· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν. ἔτι ὁ αὐτὸς, διάλυε, φησὶ, πάντα σύνδεσμον ἀδικίας, λύε στραγγαλίας βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα, διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου. ἐὰν ἴδῃς γυμνὸν περίβαλλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψῃ. τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ· καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου. ὁμοίως καὶ

---

1 Ἡσαΐας.] cap. xxxi. 6, et xlv. 22.
2 Ἱερεμίας.] cap. vi. 9.

memorabuntur, sed justitia quam fecit vivet, quia nolo mortem iniqui dicit Dominus; sed ut avertat se a via sua mala et vivat. Rursus Esaias: *Convertimini qui profundum consilium initis et iniquum ut salvemini.* Et alius propheta Jeremias: *Convertimini ad Dominum Deum vestrum, quemadmodum ad cartellum vindemiator, et misericordiam consequemini.* Multa quidem vel potius innumerabilia sunt de pœnitentia in Scripturis sacris dicta, volente semper Deo genus humanum ab omnibus peccatis convertere.

§ 12. Adhuc etiam et de justitia, quam lex præcepit, consentaneæ inveniuntur prophetarum et Evangeliorum sententiæ, propterea quod omnes uno Dei afflati Spiritu locuti sunt. Sic igitur Esaias dicit; *Auferte mala ex animabus vestris, discite facere bonum, quærite judicium, liberate oppressum, judicate pupillo, et justificate viduam.* Idem: *Dissolve,* inquit *omnem colligaturam iniquitatis: solve obligationes violentorum contractuum; dimitte fractos in remissionem; et omnem scripturam iniquam conscinde; frange esurienti panem tuum; et pauperes sine tecto induc in domum tuam; si videris nudum operi illum; et domesticos seminis tui ne despexeris. Tunc erumpet matutinum lumen tuum, et sanitates tuæ cito orientur, et præibit ante te justitia tua.* Similiter et Jeremias: *State*

---

[3] Ἡσαΐας.] i. 16; lviii. 6; Jerem. vi. 16.

Ἱερεμίας, στῆτε, φησὶν, ἐπὶ ταῖς ὁδοῖς, καὶ ἴδετε, καὶ ἐπερωτήσατε ποία ἐστὶν ἡ ὁδὸς Κυρίου τοῦ Θεοῦ ἡμῶν ἡ ἀγαθὴ, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. κρίμα δίκαιον κρίνετε, ὅτι ἐν τούτοις ἐστὶ τὸ θέλημα Κυρίου τοῦ Θεοῦ ὑμῶν. ὡσαύτως καὶ Ὠσηὲ[1] λέγει· φυλάσσεσθε κρίμα, καὶ ἐγγίζετε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, τὸν στερεώσαντα τὸν οὐρανὸν, καὶ κτίσαντα τὴν γῆν. καὶ ἕτερος Ἰωὴλ[2] ἀκόλουθα τούτοις ἔφη· συναγάγετε λαὸν, ἁγιάσατε ἐκκλησίαν, εἰσδέξασθε πρεσβυτέρους, συναγάγετε νήπια θηλάζοντα μαστοὺς, ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς, καὶ εὔξασθε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν ἐκτενῶς, ὅπως ἐλεήσῃ ὑμᾶς, καὶ ἐξαλείψει τὰ ἁμαρτήματα ὑμῶν. ὁμοίως καὶ ἕτερος Ζαχαρίας[3]· τάδε λέγει Κύριος παντοκράτωρ· κρίμα ἀληθείας κρίνετε, καὶ ἔλεος καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ χήραν καὶ ὀρφανὸν καὶ προσήλυτον μὴ καταδυναστεύσητε, καὶ κακίαν ἕκαστος μὴ μνησικακείτω τῷ ἀδελφῷ αὐτοῦ ἐν ταῖς καρδίαις ὑμῶν, λέγει Κύριος παντοκράτωρ.

§ 13. Καὶ περὶ σεμνότητος οὐ μόνον διδάσκει ἡμᾶς ὁ ἅγιος λόγος τὸ μὴ ἁμαρτάνειν ἔργῳ, ἀλλὰ καὶ μέχρις ἐννοίας, τὸ μηδὲ τῇ καρδίᾳ ἐννοηθῆναι περί τινος κακοῦ, ἢ θεασάμενον τοῖς ὀφθαλμοῖς ἀλλοτρίαν γυναῖκα ἐπιθυμῆσαι. Σολομῶν[4] μὲν οὖν ὁ βασιλεὺς καὶ προφήτης γενόμενος ἔφη· οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν· τὰ

---

[1] Ὠσηέ.] Ita legendum pro Ἡσαΐας monent Wolf. et Bened. Vid. Hos. xii. 6; xiii. 4.

[2] Ἰωήλ.] cap. ii. 16.

super vias et videte et interrogate qualis sit via Domini nostri bona, et ambulate in ea, et invenietis requiem animabus vestris. Judicium justum judicate, quia in his est voluntas Domini Dei vestri. Similiter dicit Hosea: *Custodite judicium et appropinquate ad Dominum Deum vestrum, qui firmavit cœlum et condidit terram.* Et alius qui Joel dicitur his congruentia locutus est: *Congregate populum, sanctificate ecclesiam, suscipite presbyteros, congregate parvulos sugentes ubera. Egrediatur sponsus de cubili suo, et sponsa de thalamo suo. Et orate ad Dominum Deum intente, ut misereatur vestri, et deleat peccata vestra.* Similiter alius, qui Zacharias dicitur: *Hæc dicit Dominus omnipotens: Judicium veritatis judicate: et misericordiam et miserationem facite unusquisque ad proximum suum; et viduam et pupillum et advenam non opprimetis, et malitiam unusquisque non meminerit fratri suo in cordibus vestris, dicit Dominus omnipotens.*

§ 13. De castitate autem nos docet Scriptura sacra, non solum nihil opere peccare, sed ne cogitatione quidem; ita ut nec mali quidquam corde concipiamus, nec oculis conspicientes uxorem alienam concupiscamus. Salomon igitur qui rex et propheta extitit, ait: *Oculi tui recta videant, et palbebræ tuæ annuant justa; rectas fac semitas pedibus*

---

[3] Ζαχαρίας.] cap. vii. 9, 10.
[4] Σολομῶν.] Prov. iv. 25.

δὲ βλέφαρά σου νευέτω δίκαια. ὀρθὰς ποίει τροχιὰς σοῖς ποσίν. ἡ δὲ εὐαγγέλιος φωνὴ ἐπιτακτικώτερον διδάσκει περὶ ἁγνείας λέγουσα· πᾶς ὁ ἰδὼν[1] γυναῖκα ἀλλοτρίαν πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ ὁ γαμῶν, φησὶν, ἀπολελυμένην ἀπὸ ἀνδρὸς, μοιχεύει· καὶ ὃς ἀπολύει γυναῖκα παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι. ὅτι ὁ Σολομῶν[2] φησιν· ἀποδήσει τις πῦρ ἐν ἱματίῳ, τὰ δὲ ἱμάτια αὐτοῦ οὐ κατακαύσει; ἢ περιπατήσει τις ἐπ' ἀνθράκων πυρὸς, τοὺς δὲ πόδας οὐ κατακαύσει; οὕτως ὁ εἰσπορευόμενος πρὸς γυναῖκα ὕπανδρον, οὐκ ἀθωωθήσεται.

§ 14. Καὶ τοῦ μὴ μόνον ἡμᾶς εὐνοεῖν τοῖς ὁμοφύλοις[3], ὡς οἴονταί τινες, Ἠσαΐας[4] ὁ προφήτης ἔφη· εἴπατε τοῖς μισοῦσιν ὑμᾶς καὶ τοῖς βδελυσσομένοις, ἀδελφοὶ ἡμῶν ἔστε, ἵνα τὸ ὄνομα κυρίου δοξασθῇ, καὶ ὀφθῇ ἐν τῇ εὐφροσύνῃ αὐτῶν. τὸ δὲ εὐαγγέλιον[5], ἀγαπᾶτε, φησὶ, τοὺς ἐχθροὺς ὑμῶν, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. ἐὰν γὰρ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποῖον μισθὸν ἔχετε; τοῦτο καὶ οἱ λῃσταὶ καὶ οἱ τελῶναι ποιοῦσι. τοὺς δὲ ποιοῦντας τὸ ἀγαθὸν διδάσκει μὴ καυχᾶσθαι, ἵνα μὴ ἀνθρωπάρεσκοι ὦσι. μὴ γνώτω γὰρ, φησὶν, ἡ χείρ σου ἡ ἀριστερὰ τί ποιεῖ ἡ χείρ σου ἡ δεξιά. ἔτι μὴν καὶ περὶ τοῦ ὑποτάσσεσθαι ἀρχαῖς καὶ ἐξουσίαις, καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν, κελεύει ἡμᾶς ὁ θεῖος λόγος[6], ὅπως ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν. καὶ διδάσκει ἀποδιδόναι πᾶσι

---

[1] *πᾶς ὁ ἰδὼν κ.τ.λ.*] Matt. v. 28.
[2] *Σολομῶν.*] Prov. vi. 27, ubi pro *ἱματίῳ*, habent LXX. *κόλπῳ*.
[3] *ὁμοφύλοις.*] Ita legendum pro *ἀλλοφύλοις* monuit Wolf.

tuis. Vox autem evangelica intentius de castitate præcipit his verbis: *Quisquis adspicit uxorem alienam ad concupiscendam eam, jam mœchatus est eam in corde suo: et qui ducit,* inquit, *dimissam a viro, mœchatur, et qui dimittit uxorem excepta fornicationis causa, facit eam mœchari.* Ait adhuc Salomon: *Illigabit quis ignem in veste sua, vestimenta autem sua non comburet? aut ambulabit quis super carbones ignis et pedes non comburet? sic quæ proficiscitur ad mulierem quæ sub viro est, innocens non erit.*

§ 14. Atque ut non eos solum qui nostri sunt generis diligamus, ut quidam existimant, Esaias ait: *Dicite his qui vos oderunt et his qui execrantur, fratres nostri estis, ut nomen Dei glorificetur et videatur in lætitia eorum.* Evangelium autem; *Diligite,* inquit, *inimicos vestros, et precamini pro his qui lædunt vos. Nam si dilexeritis eos qui diligunt vos, qualem mercedem habetis? Hoc et latrones et publicani faciunt.* Qui autem bene faciunt, eos non gloriari docet, ne studiosi sint hominibus placendi. *Nesciat,* inquit, *manus tua sinistra quid faciat manus tua dextra.* Illud etiam jubet Scriptura sancta, ut magistratibus et potestatibus subjiciamur et pro eis precemur; ut tranquillam et pacatam vitam agamus. Atque omnibus

---

[4] Ἡσαΐας.] lxvi. 5.
[5] εὐαγγέλιον.] Matt. v. 44, et μὴ γνώτω, &c. Matt. vi. 3.
[6] θεῖος λόγος.] 1 Tim. ii. 2.

τὰ πάντα, τῷ τὴν τιμὴν [1], τὴν τιμὴν, τῷ τὸν φόβον, τὸν φόβον, τῷ τὸν φόρον, τὸν φόρον· μηδενὶ μηδὲν ὀφείλειν ἢ μόνον τὸ ἀγαπᾷν πάντας.

§ 15. Σκόπει τοίνυν εἰ οἱ τὰ τοιαῦτα μανθάνοντες δύνανται ἀδιαφόρως ζῆν, καὶ συμφύρεσθαι ταῖς ἀθεμίτοις μίξεσιν, ἢ τὸ ἀθεώτατον πάντων, σαρκῶν ἀνθρωπείων ἐφάπτεσθαι· ὅπου γε καὶ τὰς θέας [2] τῶν μονομάχων ἡμῖν ἀπείρηται ὁρᾷν, ἵνα μὴ κοινωνοὶ καὶ συνίστορες φόνων γενώμεθα. ἀλλ' οὐδὲ τὰς λοιπὰς θεωρίας ὁρᾷν χρὴ, ἵνα μὴ μολύνωνται ἡμῖν οἱ ὀφθαλμοὶ, καὶ τὰ ὦτα, γινόμενα συμμέτοχα τῶν ἐκεῖ φωνῶν ᾀδομένων. εἰ γὰρ εἴποι τις περὶ ἀνθρωποβορίας, ἐκεῖ τὰ Θυέστου καὶ Τηρέως τέκνα ἐσθιόμενα· εἰ δὲ [3] περὶ μοιχείας, οὐ μόνον περὶ ἀνθρώπων, ἀλλὰ καὶ περὶ θεῶν, ὧν καταγγέλλουσιν εὐφώνως μετὰ τιμῶν καὶ ἄθλων, παρ' αὐτοῖς τραγῳδεῖται. μακρὰν δὲ ἀπείη Χριστιανοῖς ἐνθυμηθῆναί τι τοιοῦτο πρᾶξαι, παρ' οἷς σωφροσύνη πάρεστιν, ἐγκράτεια ἀσκεῖται, μονογαμία τηρεῖται, ἁγνεία φυλάσσεται, ἀδικία ἐκπορθεῖται, ἁμαρτία ἐκριζοῦται, δικαιοσύνη μελετᾶται, νόμος πολιτεύεται, θεοσέβεια πράσσεται, Θεὸς ὁμολογεῖται, ἀλήθεια βραβεύει, χάρις συντηρεῖ, εἰρήνη περισκέπει, λόγος ἅγιος ὁδηγεῖ, σοφία διδάσκει, ζωὴ βραβεύει, Θεὸς βασιλεύει. πολλὰ μὲν οὖν ἔχοντες λέγειν περὶ τῆς καθ' ἡμᾶς πολιτείας, καὶ τῶν δικαιωμάτων [4] τοῦ Θεοῦ καὶ δημιουργοῦ πάσης κτίσεως, τὰ

---

1 *τῷ τὴν τιμήν.*] Rom. xiii. 7, 8.

2 *καὶ τὰς θέας κ.τ.λ.*] Graviter in ejusmodi spectacula patres antiqui invehuntur; e.g. Tertull. de Spectac. XXII.

3 *εἰ δέ.*] Ita scripsi pro ἃ δὲ, monente Bened.

4 *δικαιωμάτων.*] Affert hic Wolfius observationem Io. Lockii ad

reddere omnia docet; *cui honorem, honorem; cui timorem, timorem; cui tributum, tributum, nec quidquam ulli debere, nisi ut diligamus omnes.*

§ 15. Vide igitur, an qui talia didicerunt, indifferenter vivere possint, et in nefariis flagitiis versari, aut quod omnium maxime nefandum est, carnes humanas attingere; cum præsertim nec gladiatorum ludos spectare nobis liceat, ne participes et conscii cædium simus. Neque etiam cætera spectacula obeunda sunt, ne polluantur oculi et aures, si participes eorum fiant, quæ illic decantantur. Si quis enim de carnis humanæ epulo loquitur, illic Thyestis et Terei filii vorantur; si vero de adulterio, illud apud eos non solum de hominibus sed etiam diis quos suavi voce decantant, non sine mercede et præmio, tragice exhibetur. Procul autem absit a Christianis, ut iis quidquam hujusmodi facere in mentem veniat; apud quos adest temperantia, continentia colitur, unius uxoris matrimonium servatur, castitas custoditur, injustitia expellitur, peccatum radicitus evellitur, justitia exercetur, lex observatur, religio peragitur, Deus agnoscitur, veritas dominatur, gratia custodit, pax protegit, sanctum verbum ducit, sapientia docet, vita dirigit, Deus regnat. Cum igitur multa habeamus, quæ de

---

Rom. ii. 26, qui enumeratis locis N. T. singulis, in quibus hæc vox extat, significatum ejus ita evolvit: *δικαίωμα* est regula et norma justi et recti, et in quantum Deum habet auctorem, vocatur *δικαίωμα Θεοῦ* (Rom. i. 32; Apocal. xv. 4.) quatenus lege Mosaica comprehenditur, *δικαιώματα τοῦ νόμου* (Rom. ii. 26,) quatenus ad externos

νῦν αὐτάρκως ἡγούμεθα ἐπιμεμνῆσθαι, εἰς τὸ καὶ σὲ ἐπιστῆσαι μάλιστα ἐξ ὧν ἀναγινώσκεις ἕως τοῦ δεῦρο, ἵνα ὡς φιλομαθὴς ἐγενήθης, οὕτω καὶ φιλομαθὴς ἔσῃ ἕως τοῦ δεῦρο.

§ 16. *Θέλω δέ σοι καὶ τὰ τῶν χρόνων, Θεοῦ παρέχοντος, νῦν ἀκριβέστερον ἐπιδεῖξαι, ἵνα ἐπιγνῷς ὅτι οὐ πρόσφατος οὐδὲ μυθώδης ἐστὶν ὁ καθ' ἡμᾶς λόγος, ἀλλ' ἀρχαιότερος καὶ ἀληθέστερος ἁπάντων ποιητῶν καὶ συγγραφέων, τῶν ἐπ' ἀδήλῳ συγγραψάντων. οἱ μὲν γὰρ τὸν κόσμον ἀγένητον εἰπόντες εἰς τὸ ἀπέραντον ἐχώρησαν. ἕτεροι δὲ γενητὸν φήσαντες, εἶπον ὡς ἤδη μυριάδας ἐτῶν πεντεκαίδεκα ἐληλυθέναι καὶ τρισχίλια ἑβδομήκοντα πέντε ἔτη. ταῦτα μὲν οὖν Ἀπολλώνιος ὁ Αἰγύπτιος ἱστορεῖ. Πλάτων δὲ ὁ δοκῶν Ἑλλήνων σοφώτατος γεγενῆσθαι, εἰς πόσην φλυαρίαν ἐχώρησεν; ἐν γὰρ ταῖς πολιτείαις*[1] *αὐτοῦ ἐπιγραφομέναις ῥητῶς κεῖται λέγοντος· πῶς γὰρ ἄν, εἴ γε ἔμενε τάδε οὕτω τὸν πάντα χρόνον ὡς νῦν διακεκόσμηται, καινὸν ἀνευρίσκετό ποτε καὶ ὁτιοῦν; ὅτι μὲν γὰρ μυριάκις μύρια ἔτη διελάνθανεν ἄρα τοὺς τότε· χίλια δ' ἀφ' οὗ γέγονεν ἢ δὶς τοσαῦτα ἔτη, τὰ μὲν Δαιδάλῳ καταφανῆ γέγονε, τὰ δὲ Ὀρφεῖ, τὰ δὲ Παλαμήδει. καὶ ταῦτα εἰπὼν γεγενῆσθαι, τὰ μὲν μυριάκις μύρια ἔτη ἀπὸ κατακλυσμοῦ ἕως Δαιδάλου δηλοῖ. καὶ πολλὰ φήσας περὶ*

---

religionis ritus spectat *δικαιώματα λατρείας* (Heb. ix. 1,) quatenus infert externam legalem aut ritualem Judæorum sanctitatem, *δικαιώματα σαρκὸς* (Heb. ix. 10,) quoad denique in hominibus sanctis perficitur, *δικαιώματα ἁγίων* (Apocal. xix. 8; Cf. Rom. v. 18. *δι' ἑνὸς* [sc. *τοῦ Χριστοῦ*] *δικαιώματος*.)

institutis nostris et Dei ac conditoris universorum præceptis dicamus, satis multa hactenus videmur commemorasse, ut et tu cognoscas, ex quibus huc usque legisti, ut sicut olim eras, ita nunc quoque sis cupidus discendi.

§ 16. Volo autem tibi et ea quæ tempora spectant, Deo concedente, accuratius demonstrare; ut intelligas nec recentem nec fabulosam esse doctrinam nostram, sed antiquiorem et veriorem omnibus poetis et scriptoribus, qui incerta scripserunt. Alii enim cum mundum ingenitum dicerent, in infinitum abierunt; alii cum genitum assererent, jam annorum myriades quindecim et tria millia et septuaginta annos effluxisse dixerunt. Atque hæc quidem refert Apollonius Ægyptius. Plato autem, qui Græcorum sapientissimus fuisse existimatur, quantas in nugas abiit? Nam in ejus libro qui *Civitates* inscribitur, hæc totidem verbis leguntur; *Quomodo enim, si hæc ita omni tempore mansissent, ut hodie ornata sunt, novi quidquam aliquando inveniretur; cum decies millies myriades annorum latuerint eos qui tum erant, ac mille anni aut bis mille effluxerint, ex quo inventa partim a Dædalo, partim ab Orpheo, partim a Palamede in lucem prodiere.* Quæ cum facta esse dicit decies millies myriades annorum a diluvio ad Dædalum numerat. Et cum multa dicat de

---

[1] πολιτείαις.] Hic locus extat in libro III. de legibus; memoria hic falli videtur Theophilus, ut supr. § 5.

πόλεων κατὰ κόσμον [1], καὶ οἰκήσεων καὶ ἐθνῶν, ὁμολογεῖ εἰκασμῷ ταῦτα εἰρηκέναι. λέγει γάρ· εἰ γοῦν, ὦ ξένε, τις ἡμῖν ὑπόσχοιτο θεὸς ὡς, ἐὰν ἐπιχειρήσωμεν τὸ δεύτερον τῇ τῆς νομοθεσίας σκέψει, τῶν νῦν εἰρημένων [2]· δηλονότι εἰκασμῷ ἔφη· εἰ δὲ εἰκασμῷ, οὐκ ἄρα ἀληθῆ ἐστι τὰ ὑπ᾽ αὐτοῦ εἰρημένα.

§ 17. Δεῖ οὖν μᾶλλον μαθητὴν γενέσθαι τῆς νομοθεσίας τοῦ Θεοῦ, καθῶς καὶ αὐτὸς [3] ὡμολόγηκεν ἄλλως μὴ δύνασθαι τὸ ἀκριβὲς μαθεῖν, ἐὰν μὴ ὁ Θεὸς διδάξῃ διὰ τοῦ νόμου. τί δ᾽ οὐχὶ καὶ οἱ ποιηταὶ, Ὅμηρος καὶ Ἡσίοδος καὶ Ὀρφεὺς ἔφασαν ἑαυτοὺς ἀπὸ θείας προνοίας μεμαθηκέναι; ἔτι μὴν μάντεις καὶ προγνώστας γεγενῆσθαι κατὰ τοὺς συγγραφεῖς, καὶ τοὺς παρ᾽ αὐτῶν μαθόντας ἀκριβῶς συγγεγραφέναι φασίν. πόσῳ οὖν μᾶλλον ἡμεῖς τὰ ἀληθῆ εἰσόμεθα, οἱ μανθάνοντες ἀπὸ τῶν ἁγίων προφητῶν, τῶν χωρησάντων τὸ ἅγιον πνεῦμα τοῦ Θεοῦ. διὸ σύμφωνα καὶ φίλα ἀλλήλοις οἱ πάντες προφῆται εἶπον, καὶ προεκήρυξαν τὰ μέλλοντα ἔσεσθαι παντὶ τῷ κόσμῳ. τοὺς γὰρ φιλομαθεῖς, μᾶλλον δὲ φιλαληθεῖς δύναται αὐτὴ ἡ ἔκβασις τῶν προαναπεφωνημένων πραγμάτων καὶ ἤδη ἀπηρτισμένων ἐκδιδάσκειν ὄντως ἀληθῆ εἶναι τὰ δι᾽ αὐτῶν κεκηρυγμένα περί τε χρόνων καὶ καιρῶν τῶν πρὸ κατακλυσμοῦ, ἀφ᾽ οὗ ἔκτισται ὁ κόσμος ἕως τοῦ δεῦρο, ὡς συνέστηκε τὰ ἔτη, εἰς

---

1 *κατὰ κόσμον.*] Ita pro *κατακοσμῶν* legendum monuit Editor Bened.

2 *τῶν νῦν εἰρημένων.*] Addit Plato *λόγων χείρους οὐδὲ ἐλάττους ἀκουσόμεθα, μακρὸν ἂν ἔλθοιμι ἐγώ;* id est, "si quis nobis pollicetur Deus fore, ut si etiam legis ferendæ rationem considerare aggrediamur, sermonibus modo habitis non pejores audiamus, longum equidem iter suscipiam." Ex his colligit Theophilus Platonem

urbibus per orbem, de habitationibus et gentibus, fatetur hæc se conjecturâ dixisse. Ait enim; *Si quis igitur, hospes, nobis polliceatur deus, fore ut si iterum rationem legis ferendæ considerare aggrediamur, sermonibus modo habitis &c.* Conjecturâ videlicet loquitur; quod si conjecturâ, falsa profecto sunt quæ ab illo dicta sunt.

§ 17. Satius igitur est discipulum esse legis divinæ, quemadmodum ipse confitetur, non aliter posse verum accurate disci, nisi Deo per legem docente. Quid? nonne poetæ, Homerus Hesiodus et Orpheus institutos se a divina providentia dixerunt? Scriptores quoque perhibent fuisse vates et prophetas, a quibus qui eruditi fuissent, eos accurate scripsisse. Quanto igitur magis veritas a nobis cognoscetur, qui a sanctis prophetis sancto Dei Spiritu plenis didicimus? Hinc consona omnes prophetæ et amica inter se dixerunt, et futuros toti mundo eventus prænuntiarunt. Ipse enim prædictarum rerum et jam perfectarum eventus potest edocere cupidos disciplinæ vel potius veritatis, vera esse quæ ab illis de temporibus et annis ante diluvium elapsis prædicata sunt, quomodo scilicet se habeat annorum series ab origine mundi ad nostram ætatem, ut demon-

---

conjiciendo locutum esse, nec ipsi, ut Prophetis Spiritus auxilio fretis, exploratum fuisse dicendi exitum. (Bened.)

[3] *καθὼς καὶ αὐτὸς κ.τ.λ.*] Respicit fortasse Theophilus eundem Platonis locum (Meno. p. 99) qui citatur a Justino Cohort. 32. *εἰ δὲ νῦν ἡμεῖς ἐν πάντι τῷ λόγῳ τούτῳ καλῶς ἐζητήσαμέν τε καὶ ἐλέγομεν, ἀρετὴ ἂν εἴη οὔτε φύσει οὔτε διδακτὸν, ἀλλὰ θείᾳ μοίρᾳ παραγινομένη ἄνευ νοῦ οἷς ἂν παραγίνηται.*

τὸ ἐπιδεῖξαι τὴν φλυαρίαν τοῦ ψεύδους τῶν συγγραφέων, ὅτι οὐκ ἀληθῆ ἐστι τὰ δι' αὐτῶν ῥηθέντα.

§ 18. Πλάτων γὰρ, ὡς προειρήκαμεν, δηλώσας κατακλυσμὸν γεγενῆσθαι, ἔφη μὴ πάσης τῆς γῆς, ἀλλὰ τῶν πεδίων μόνον γεγενῆσθαι, καὶ τοὺς διαφυγόντας ἐπὶ τοῖς ὑψηλοτάτοις ὄρεσιν αὐτοὺς διασεσῶσθαι. ἕτεροι δὲ λέγουσι γεγονέναι Δευκαλίωνα καὶ Πύῤῥαν, καὶ τούτους ἐν λάρνακι διασεσῶσθαι, καὶ τὸν Δευκαλίωνα μετὰ τὸ ἐλθεῖν ἐκ τῆς λάρνακος, λίθους εἰς τὰ ὀπίσω πεπομφέναι, καὶ ἀνθρώπους ἐκ τῶν λίθων γεγενῆσθαι· ὅθεν φασὶ λαοὺς προσαγορεύεσθαι τὸ πλῆθος ἀνθρώπων. ἄλλοι δ' αὖ Κλύμενον εἶπον ἐν δευτέρῳ κατακλυσμῷ γεγονέναι. ὅτι μὲν οὖν ἄθλιοι καὶ πάνυ δυσσεβεῖς καὶ ἀνόητοι εὑρίσκονται οἱ τὰ τοιαῦτα συγγράψαντες καὶ φιλοσοφήσαντες ματαίως, ἐκ τῶν προειρημένων δῆλόν ἐστιν. ὁ δὲ ἡμέτερος προφήτης καὶ θεράπων τοῦ Θεοῦ Μωσῆς περὶ τῆς γενέσεως τοῦ κοσμοῦ ἐξιστορῶν, διηγήσατο τίνι τρόπῳ γεγένηται ὁ κατακλυσμὸς ἐπὶ τῆς γῆς· οὐ μὴν ἀλλὰ καὶ τὰ τοῦ κατακλυσμοῦ ᾧ τρόπῳ γέγονεν, οὐ Πύῤῥαν οὐδὲ Δευκαλίωνα ἢ Κλύμενον μυθεύων, οὐδὲ μὴν τὰ πεδία μόνον κατακεκλύσθαι, καὶ τοὺς διαφυγόντας ἐπὶ τοῖς ὄρεσι μόνους διασεσῶσθαι.

§ 19. Ἀλλ' οὐδὲ δεύτερον κατακλυσμὸν γεγονέναι δηλοῖ. ἀλλὰ μὲν οὖν ἔφη μηκέτι τῷ κόσμῳ κατακλυσμὸν ὕδατος ἔσεσθαι, οἷος οὔτε γέγονεν, οὔτε μὴν ἔσται. ὀκτὼ δέ φησι τὰς ψυχὰς ἀνθρώπων ἐν τῇ κιβωτῷ διασεσῶσθαι, ἐν τῇ κατασκευασθείσῃ προστάγματι Θεοῦ, οὐχ ὑπὸ τοῦ Δευκαλίωνος, ἀλλ' ὑπὸ τοῦ Νῶε Ἑβραϊστὶ, ὃς διερμηνεύεται τῇ Ἑλλάδι γλώσσῃ ἀνάπαυσις· καθὼς καὶ ἐν

stretur inepte mentitos esse scriptores, nec vera esse quæ ab iis dicta sunt.

